From The Revd.
Thomas Wade
April 24. 1866

ACTUARII OPERA

Presented to the Library

by

Francis McLennan, Esq.

LIBRARIAN'S OFFICE

To W.W.F.

Subject

Date Mar 4/42.

File Return

Refer to

Hold for

Remarks

The slip would seem to antedate Sept. 1921 when our present system was installed, and probably Jan. 1920, when I arrived at McGill.

S.P.L.

Actuarius (Joan) περὶ Διαφορᾶς Οὔρων
1557.
De Urinis. Lib VII.

The name Actuarius was given to all the Court Physicians of Constantinople, altho' the subject of this article is the only one known by it. – His father's name was Zacharias – Authors are not agreed as to the time in which he lived. Justus places him in the 11th century; Moreau in the 12th; Fabricius in the 13th; and Lambecius in the 14th.

He was the first Greek Author who recommended the use of Cassia, senna, manna, & other mild purgatives, & the first who mentions distilled waters.

He is reckoned superior to the Arabian Physicians (of his own nation) (but inferior to the great Physicians)

He wrote 1. A work on Therapeutics in 6 Books, of which there is no Greek edition; but a Latin translation by Henry Mathisius of Bruges, entitled "Methodi Medendi" Libri sex" Venice 4to 1554; Paris 1566 8vo. The work was composed by Actuarius for the use of an ambassador in the North.

2. Two books on 'Animal Spirits' of which Goupil published a Greek edition, Paris 1557, 8vo with a Latin version by Mathisius.

3. Seven books 'on Urines' of which there is no Greek edition; but Ambrose Leon de Nole published a Latin version 1519. 4to and this was revised by Goupil, illustrated with notes & reprinted under the title "De Urinis. Libri septem." Paris 1548. 8vo. Basil 1558. 8vo. Utrecht 1670. 8vo.

Chalmer's Biog Dict.

ACTUARIUS, Johannes, 13th cent., the last known of the court physicians of Constantinople, for whom "Actuarius" was the official title. This is not his "Works", as the "Opera" on the back and on p. v would imply (3 others have been published; see Choulant, #6973, p. 152), but his "Seven books on urines", the most complete ancient treatise on the subject that has come down to us. It was first printed in Latin in 1519 (cf. Gesner's "Compendium" of it, #630) and in Greek in 1842 in vol. 2 of Ideler's "Physici et medici Graeci minores",

This MS. came at uncertain dates to the Univ. Lib. from Francis McLennan, thence to the Med. Lib., but was first accessioned on transfer to the O. L. in April, 1942. I suspect, from the scarcity of ligatures, that it was not written much before 1800 (the binding is later), though the J-like figure one of the old pagination up to p. 163 looks earlier. It nowhere gives the general title, On urines (<u>peri</u> <u>ourōn</u>), but the "seven books" are divided as follows:-

On varieties, <u>diaphorai</u>,	1 bk.	p. x;
" "diagnoses" (discriminations),	2 bks.,	p. 57;
" origins (causes, <u>aitíai</u>),	2 bks.,	p. 147;
" "prognostics",	2 bks.,	p. 261.

The paper is unusual. Each leaf has one of two watermarks in its centre, so the sheets must have had both. The larger one is a (Belgian?) lion with the Flemish (or Dutch?) word VRYHEIT (freedom) below and framed with PRO PATRIA EJUSQUE LIBERTATE, the smaller one has a crown and GR, which looks British and Georgian. Many of the leaves having the smaller watermark show superficially (on one or both surfaces, but <u>not</u> visible by transillumination) an impression of the outline of the larger watermark! The vol. is apparently "sewn through"; the only string visible being a knot between pp. 23 & 24. On either side of this knot eleven leaves would appear to be conjugate, e.g. pp. 26-7 having the large and pp. 20-1 the small mark. The quiring of the rest of the vol. I have not untangled.

W. W. F.

Actuarii opera

ΑΚΤΟΥΑΡΙΟΥ Περὶ Διαγνώσεως Οὔρων.

Ἀκτουαρίου περὶ διαφορᾶς οὔρων.

Πάλαι μὲν ἴσως φιλοτιμίας ἔργον τιθέμενος, περὶ ἐκείνους μᾶλλον ἀναστρέφεσθαι τῶν λόγων, οἳ τὴν χάριν τῇ ἀκριβείᾳ συγκεκραμένην ἔχουσι, διενοούμην τι πράττειν προθυμίας ἄξιον. ἐπεὶ δὲ ἐμαυτὸν τοῖς ἄλλοις παιδευομένοις ἔργοις ἐπὶ κοινοῦ σπουδάζοντα, ἀσυμφορώτερον εἶναι τοιαύτης τῶν λόγων σπουδῆς ἐνομισάμην, κἀκεῖνα μᾶλλον εἴ τις δύναμις γράφειν σπουδάζειν ὅσα ἂν καὶ τισιν ἑτέροις γραφέντα λυσιτελήσειαν. τῷ μὲν γὰρ οὕτω σπουδάζοντι γράφειν ἐπὶ κοιναῖς ὑποθέσεσι, δεῖ πάντως δεῖ, καὶ τοῦ ἐκ τῶν λόγων ἀφθόνου κάλλους ἵν' ὅπερ ἐκείνῳ πείθη τοὺς ἐνθυμηθέντας, καὶ ταῖς μὴ χρειώδεσι τῶν ὑποθέσεων ἐπινεύειν, ἡμεῖς δὲ τοσοῦτο δεόμεθα ὥστε καὶ αὐτὰ δὴ τὰ τοῦ λόγου ἐπιδεῖξαι τὰ πράγματα. ἂν δέ τις ἐπιχειροίη λόγων ἀρίσταις ὑποθέσεσι, κἂν τι καὶ τοῦ ἐκ τῶν λόγων κάλλους ὑστερῶν ᾖ, πείθειν ὅμως εἴωθε τούτων τοὺς πλείους πειθομένους διὰ τὸ τῆς ἐπαγγελίας τοῦ λόγου χρειῶδες πάνυ. καὶ τοῦ ἐκ τῶν λόγων ἀπαλλοῦς ἀνέχεσθαι συμφορήματος. καὶ δὴ πρὸς τὸ τοιοῦτον ἀποβλέπων τοῦ σκοποῦ καὶ λόγων ἀλογήσας σπουδαζομένων κάλλους, ἀποσχόμενος μέντοι καὶ τῆς κατ' ἐμὲ δυνάμεως, ἀπλοϊκώτερον ὡς οἷόν τε συνεθέμην τὸν λόγον. καὶ τοῖς ἀφελεστέροις ἴσως συνάσοντι. πολυσχιδοῦς τοίνυν ὡς ἔοικε, τῆς περὶ λόγους ὑποθέσεως οὔσης καὶ ἄλλων ἄλλα λεγόντων τε, καὶ πειθόντων, οὐκ ἥκιστ' ἄν τις ἐπαινέσειεν, ὅσοι περὶ τὴν τῶν ἀνθρωπίνων σωμάτων θεωρίαν καθεστήκασιν. εἰ γὰρ ἐκεῖνα μέντοι περὶ σώματος, μήτε περὶ ψυχῆς διαλαβόμενα, πολλοῦ γε τίθεται ἕκαστος, καὶ τὰ μέγιστα συναισενεγκεῖν τῷ βίῳ τὸν γεγραφότα δοκοίη. πολλῷ μᾶλλον πρεσβεύοντε, καὶ ἀσπάσαιτο τὴν περὶ τῶν ἀνθρωπίνων θεωρίαν σωμάτων ὡς ἐκείνων μᾶλλον πάντων αὐτῷ προσήκουσαν. ὅτι τοίνυν τοῦθ' οὕτως ἔχει μάλιστ' ἂν ἡδέως καὶ αὐτὸς περὶ τὰ τοιαῦτα τῷ λόγῳ ἐνδιατρίψαιμι ἤ τι συναισενεγκεῖν ἐθελήσαιμι. τῶν μέχρις ἀκοῆς τὴν ἡδονὴν παρεσχηκότων λόγων. ποικίλης οὖν τινος οὔσης, τῆς περὶ τὰ ἀνθρώπινα σώματα θεωρίας. ἡ μὲν γὰρ περὶ στοιχείων ἡ δὲ περὶ ἐμβρύων διαπλάσεως καὶ περὶ ἀνατομικῆς ἑτέρα καὶ ἄλλη ἄλλης μᾶλλον πραγματείας καθέστηκεν, αὐτὸς τῆς περὶ τὰ σώματα τεθεωρημένης ἡψάμην. καὶ ταύτης ἐπεὶ πολυσχιδής τις, καὶ αὕτη εἶναι δοκεῖ ὅσον ἐς διάγνωσιν χρήσιμον.

Κεφ. α.

Ἀκτουαρίου περὶ διαφορᾶς οὔρων.

Κεφαλ. α.

Ὅτι χρήσιμος ἡ τῶν οὔρων ἐπίσκεψις.

Πολλῶν οὖν ὄντων δι' ὧν ἄν τις τὰ κατέχοντα τῶν νοσημάτων διαγνοίη, οὐχ ἥκιστον ἂν οἶμαι ἕλοιτο, τὴν περὶ οὔρων πραγματείαν, τὰ μέγιστα λυσιτελοῦσαν εἰς τὴν, τῶν κατεχόντων παθῶν, διάγνωσιν. ταύτῃ τοι καὶ αὐτὸς, τῇ περὶ τῶν οὔρων ἐπικεχείρηκα πραγματείᾳ, εἰς τὸ ἀνεξέταστον αὐτῆς ἀπιδὼν τῶν πολλῶν, καὶ εἰς ἃ δεῖ προβάλλεται ἀγαθά. καὶ τοίνυν τραχῦ τὸν ἐπὶ ταῦτα πάντα λόγον διαιρήσομεν εἴς τε διαφορὰν δηλονότι, καὶ διάγνωσιν, καὶ πρὸς τέλος αἰτίαν τε, καὶ πρόγνωσιν, τῆς περὶ οὔρων πρῶτον ἅπτομαι Θεοῦ διδόντος διαφορᾶς.

Κεφαλ. Β.

Ὅτι οὐδεὶς τῶν παλαιῶν ἐντελῶς τῶν ἡμῖν γνωρίμων ταύτης τῆς πραγματείας ἥψατο.

Ἐπεὶ γὰρ τοῖς πρὸ ἡμῶν, περὶ τὰ τοιαῦτα σοφοῖς βραχύ τι περὶ τούτου οὐκ οἶδ' ὅπως ἠμέλησεν, ὁ μὲν γὰρ σοφώτατος Ἱπποκράτης ὀλίγ' ἄττα περὶ τούτων εἰρηκὼς σποράδην, ἀτελῆ τὴν θεωρίαν παρέσχε· Γαληνῷ δὲ τῷ σοφῷ περὶ τὰ τοιαῦτα βραχύ τι καὶ αὐτῷ μεμέληκεν, ὅσον δὴ τὰ εἰκὸς ὑπὲρ παῖσι τοὺς πολλοὺς καὶ τὴν ἐκ τῶν οὔρων θεωρίαν; λυσιτελεῖν τοῖς ἀνθρώποις σώμασιν οἴεσθαι, τὸ λοιπὸν ἀμεληθῆναι φαίνεται, τῆς περὶ ταῦτα ἐντελοῦς θεωρίας, Μάγνῳ δὲ Ἀλεξάνδρῳ, καὶ πρὸ τούτου Θεοφίλῳ, καὶ τισιν ἑτέροις, περὶ τὰ τοιαῦτα ἐσπουδακόσι, πλέον τι τῶν ἄλλων εἰπεῖν δόξασι, καὶ αὐτοῖς ὁ λόγος ἀτελὴς διέμεινεν ὥσπερ ἀπ' ἐμπειρίας μᾶλλον ἠργμένοις, καὶ μήτε διαφοράν, μήτ' αἰτίαν, μήτ' ἄλλ' ἄττα, τὰ τῇ αἰσθήσει δηλοῦντα, προσθεῖναι ἐπικεχειρηκόσιν. ἐντεῦθεν τοῖς μὲν ἄλλοις ὁρῶν τὴν τέχνην σεμνυνομένην πραγματείαις τὴν ὅλην τοῦ θ' Ἱπποκράτους καὶ Γαληνοῦ, καὶ τῶν μετ' αὐτοὺς ἐξακουστοτέρων ἀνδρῶν, τὴν δὲ περὶ οὔρων οἷον ἐπισκιάζουσαν καί τινος εἰς τοῦτο συνάρσεως δεομένην, αὐτὸς τὸ ἔργον ἂν εἱλόμην ὡς οἷόν τε ἦν. καὶ Θεῷ θαρρήσας τῷ παροχεῖ τῶν λόγων

ἐπιχε

ἐπικεχείρηκα· κἂν μὲν οὖν κατ' ἀξίαν τῆς προθυμίας τε καὶ τέχνης
χείρημα (Θεῷ ἡ χάρις, τῷ χορηγῷ τῆς γνώσεως. εἰ δὲ πολλῷ
τῆς σπουδῆς κατόπιν, οὐκ ἄν τις ἐμοὶ δικαίως
πάνυ κατηρτηκότι προθυμίας ἐπιλίποι. κἂν γάρ τι καὶ διαπεσεῖν τοῦ δέον=
τος γένηται, ἀνθρώπινον μὲν τὸ πάθος· συγγνοίη δ' ἄν τις ὀρθὰ κρίνειν εἰδὼς ἀντι=
παραθεὶς τοῖς μὴ καλῶς ἐκθεῖσι τὰ δέοντα. τὸ μὲν γὰρ ἕκαστον τῶν ὀλίγου ἀ=
ξίων ὅση δύναμις εἰσενεγκεῖν τι τῷ κοινῷ λυσιτελείας τινὸς ἕνεκεν, ἐ=
παινέ τις ἂν ὁμολογήσειε τῆς προθυμίας. τὸ δὲ ῥᾳδίως οὕτω διαβάλλειν [illegible]=
κιν, τὰς τῶν αἱρουμένων τὰ κρείττω προθυμίας, φαύλων μᾶλλον ἀνδρῶν,
καὶ τὰ πολλὰ φθονούντων φήσαιεν ἄν. καὶ τὸ μὲν εἶξαι ταῖς τῶν συνήθων ἀξ=
ιώσεσιν, (εἰσὶ γὰρ οἱ πρὸς τοῦτό με προθυμίας ἤλασαν,) ἤρκεσαν ἂν ἴσως
ἀρκοῦσαν ἀπολογίαν τῷ λόγῳ. ἐπεὶ δὲ καὶ ἡ τέχνη κατὰ τοῦτο ἐνδέουσα
~~πως ὡς ἴσμεν~~ ὦφθαι, ἀντὶ τῆς τῶν πολλῶν ἐπιτιμήσεως τοῦ λόγου ἀλογῆσαι
γέγονται, καὶ τῆς περὶ τῶν οὔρων ἅψασθαι καλλίστης πραγματείας, τῶν ἀ=
λογιστῶν ἂν δόξαιεν. οὕτω δὲ ποιῶμεν ἐντεῦθεν ἡμμένοι τοῦ λόγου.

Κεφαλ. γ.

Ὅτι τρεῖς αἱ συνεκτικαὶ καὶ πρῶται ἀρχαὶ τοῦ σώματος.

Τριῶν οὖν ὄντων τῶν μάλιστα τὴν ἀνθρώπου συνεχόντων ζωήν, Καρδίας, ἥπατος,
ἐγκεφάλου· καὶ τῆς μὲν Καρδίας, ἀρχικωτέρας μᾶλλον τῶν οὔσης καὶ βε=
βαιοτέρας τῆς ἐμφύτου θερμότητος, καὶ αὐτοῦ δὴ τοῦ ζωτικοῦ τόνου, καὶ
καθ' ὡς ἂν τύχῃ ταῦτα ὄντα διαθέσεως, ἀποσημαινούσης διὰ τῆς
τῶν ἀρτηριῶν ἀεικινησίας, οὐχ ἥκιστα μέντοι καὶ τ' ἄλλα τῶν ἀξι=
ολόγων παθῶν, τῶν ἐπὶ διαφόροις τοῦ σώματος μέρεσι γινομένων, ἅτε
κοινωνοῦσιν ὡς ἀρχικοῦ τῆς καρδίας, τοῦ δ' ἥπατος δευτέρου μὲν ἀξιώ=
ματος πεφυκότος, ἐπικεκοινωνηκότος μέντοι, καὶ αὐτοῦ τοῦ ἀπὸ τῆς Καρδίας
ἐμφύτου θερμοῦ μᾶλλον τῶν ἄλλων μορίων διὰ τῆς κοίλης οὕτω καλουμένης
φλεβός, ἀρχῆς τε τῶν φλεβῶν τυγχάνοντος, καὶ τὴν αἱματοποιητικὴν ἐμπε=
πιστευμένου δύναμιν, παρὰ τῆς δημιουργοῦ φύσεως, ἐπὶ τέλοις δὲ τρίτου τοῦ ἐγκε=
φάλου τὴν τε κίνησιν καὶ αἴσθησιν καὶ ἡγεμονικὴν ἐνέργειαν ἐπιχορηγοῦντος

τῶ

τῷ σώματι, ἐπικοινωνούντων μὲν τοι τῶν τριῶν, καὶ τοῖς ἀλλήλων συμπασχόντων πάθεσιν, ἀλλὰ μιᾶς οὔσης, ἐν πᾶσι συῤῥοίας τε, καὶ συμπνοίας, ἡμεῖς περὶ τῆς ἐν ἥπατι, μᾶλλον ἐρεῖν προυθέμεθα δυνάμεως· εἴγε τὸ μὲν ἧπαρ τὴν αἱματοποιητικὴν κεκλήρωται δύναμιν ὑπὸ τῆς φύσεως, τὸ δ' οὖρον αἵματος περιήθημα πέφυκεν. ἀλλ' ἵν' ὁ λόγος σαφέστερος ᾖ, δέησον ἂν εἴη φάναι πρῶτον περὶ τῆς τοῦ αἵματος κατασκευῆς εἶθ' οὕτω καὶ περὶ οὔρου, καθ' εἱρμόν καὶ τάξιν τινὰ τοῦ λόγου προβαίνοντος.

Κεφ. α.

Περὶ τῆς τοῦ αἵματος καὶ τῶν λοιπῶν χυμῶν Κατασκευῆς ἐν ᾧ καὶ περὶ Οὔρων Γενέσεως.

Καὶ δὴ τῆς τροφῆς ἐν Γαστρὶ ἀλλοιωθείσης, καὶ πεφθείσης, ἐπειδήπερ αἱ μεσαραικαὶ καλούμεναι φλέβες τὴν ἀρχὴν ἀφ' ἥπατος λαβοῦσαι διὰ τῆς οὕτω καλουμένης φλεβὸς, αὐτήν τε τὴν Γαστέρα καὶ τὰ μετ' αὐτὴν ἀναμυσῶσιν ἔντερα καὶ οἷον βδάλλουσι τὸ καθαρώτατον, ὡς δι' ἠθμοῦ τῆς χολοποιηθείσης τροφῆς ἐπιστομώμεναι, διαπορθμεύουσαι δὲ ταύτην ἐπὶ τὰ κοῖλα τοῦ ἥπατος τῇ αἱματοποιητικῇ δυνάμει παραδιδόασιν, ἐπειδὰν εἰ μηδὲν ἐμποδὼν τυγχάνον ᾖ, εἰς αἷμα ταύτης ἠλλοιωμένης, ὅσον μὲν λεπτόν τε καὶ δριμύτερον πέφυκεν ἐκεῖθεν παρὰ τὰ κυρτὰ τοῦ ἥπατος ἡ χοληδόχος κύστις ἂν ἱδρυμένη ἀνιμᾶταί τε καὶ ἐφέλκεται Βραχέος πάνυ, καὶ τοῦτο καθάπερ ὡς οἶμαι χρείαν, διαπεφυγότος τὴν ἀκριβῆ διάκρισιν. εἶτα δὲ τοῦ γεώδους τε καὶ μελαγχολικοῦ χυμοῦ τελείαν ἐν αἵματι, τοῦθ' ὁ σπλὴν ἀντιπαρακείμενος ἐπισπᾶται φυσικαῖς τισιν ὁλκαῖς ἑκάστου τὸ ἴδιον ἐπισπωμένου, τρίτον ἐπὶ τούτοις ὁ ὀῤῥώδης χυμὸς ἐπιλείπεται. ἀλλ' οὐκ αὐτοῦ που καὶ οὗτος ὁ χυμὸς ἀποκανοῦται, ἀλλ' εἰς μείζονα καὶ χρειωδέστερον ἀπελαμβάνετο τῇ φύσει. ἐπεὶ γὰρ ὅ τε λογισμὸς καὶ ἡ αἴσθησις τὸ αἷμα οἶδε παχύτερον, καὶ μὴ ῥᾳδίως τὰ στενὰ τῶν φλεβίων διαπεραιούμενον, ὁ ὀῤῥώδης οὗτος χυμὸς λεπτός τε καὶ εὐδίοδος πέφυκε, τὸ ἀδιάκριτον ἐπὶ τούτοις ἡ φύσις ἔτι φυλάξασα, καὶ διὰ τῶν κοίλων τοῦ ἥπατος ἐπὶ κυρτὰ μεταβιβάσασα καὶ τῇ κοίλῃ φλεβὶ συνάψασα ὡς ὀχήματι

τῷ ὀρρώδει χυμῷ· κἀκεῖθεν ἔτι συνημμένους μικρόν τι παραλλάξασα τοὺς
χυμούς, ἐπὶ τῷ λαμβδοειδεῖ τῆς κοίλης φλεβός. τὸ μὲν ὀρρῶδες τοῖς νεφροῖς
καθέλκειν τε καὶ διακρίνειν δίδωσιν. ὅσον δ' αἵματος πέφυκε διὰ δὲ τῆς
λαμβδοειδοῦς, καὶ τῆς εὐθυχωρούσης ἐπὶ τὴν Καρδίαν, ταῖς ἐφεξῆς φλεψί,
κατακερματιζόμενον διανέμει. ὅτε δὴ κἀπὶ τὰ ἔσχατα χωροῦν ἐνταῦθα τοῦ
σώματος, εἰς σαρκὸς ἀλλοίωσιν καταπαύεται· μετὰ τὴν προτέραν διατη=
ροῦν ἐρυθρότητα, ἀλλ' εἰς ὑφειμένην μεταπίπτον λευκότητα ὑπὸ τῆς τε=
τάρτης ἤδη πέψεως κατειργασμένης, ἐπεὶ δ' ἡ μὲν τοιαύτη τετάρτη πέψις εἰς ὑφει=
μένην πάνυ ἐρυθρότητα, τὴν τοῦ αἵματος χροιὰν μετατίθησι, καὶ οἵα ἡ τῆς σαρ=
κός, ἐν ταυτῇ γὰρ τὸ τέλος τῆς τροφῆς, καὶ τῶν λοιπῶν τῶν ὁμοιομερῶν
καθέστηκε κατὰ λόγον. ὅσον μὲν ἁρμόζον, καὶ ἀκραιφνὲς ἐκεῖ που προ=
σφυὲν δροσοειδῶς ἐξομοιοῦται, ἀρρήτοις οἰκονομίαις φύσεως· ἐπεὶ δὲ καὶ
περιττὸν εἰκὸς ἐκεῖθεν ἠθροῖσθαι τῇ ἀκριβείᾳ, δηλονότι τῆς τοιαύτης πέψε=
ως τοῦτο λεπτότερόν τε καὶ ἀεροειδέστερον πεφυκὸς διὰ τῆς ἀδήλου ἤδη δια=
φορηθὲν διαπνοῆς ἔσχατον λαβὸν τὴν ἔκθεσιν ἀλλ' ἐπειδή πέρ τι λέληθεν
ἡμᾶς καὶ τότε προσαποδοτέον τῷ λόγῳ.

Κεφ. Ε.

Περὶ τῶν ἐφ' ἑκάστης τῶν πέψεων διακρινομένων περιττωμάτων.

Τεττάρων οὐσῶν ὡς οἶμαι τῶν γενικῶν πέψεων, ἐν διαφόροις τόποις γεγενη=
μένων, ἡ μὲν δὴ πρώτη, κατὰ γαστέρα πάντως ἐνεργεῖται, ἡ δὲ δευτέρα κατά τε
τὴν πελεχιαίαν φλέβα καὶ τὰ κοῖλα τοῦ ἥπατος, ὥσπερ ἡ τρίτη κατά τε τὰ κυρ=
τὰ τοῦ ἥπατος, καὶ τὸ ἐφεξῆς φλεβῶδες γένος. καὶ μετὰ ταύτην, ὑστάτη μετὰ
τὰ παρακείμενα τοῦ σώματος, ὅτε δὴ καὶ πρόσθεσις, καὶ πρόσφυσις καὶ ἐξομοί=
ωσις γίνεται. τούτων τῆς μὲν προτέρας τὸ περιττὸν ὅσα τῇ ἐκκρίνεται καὶ διὰ γαστρὸς
χωρεῖ, τῆς δ' αὖ δευτέρας, οἱ ἐκκριθέντες χυμοί. τῆς τρίτης δὲ τὰ τοῖς οὔροις παρυ=
φιστάμενα· ὑστάτης δὲ καὶ τετάρτης τὰ τε διὰ ἀδήλου διαπνοῆς χωροῦντα λεπτὰ

ἰκχά

τυγχάνοντα, καὶ τὰ ἀξανθοῦντα περὶ τὴν ἐπιφάνειαν παχύτερα γεγονότα. Κἂν μὲν οὖν αἱ πέψεις αὐτὰς πᾶσι καλῶς, τὸ σφῶν αὐτῶν ἔργον διασκευάσωσι, τά τε οὖρα τὴν ἁρμόζουσαν, χροιάν τε, καὶ σύστασιν ὑποφαίνουσι, καὶ τὰ παρυφιστάμενα τὸν οἰκεῖον ἔχοντα τόπον, λεῖά τε, καὶ ὁμαλὰ ἐπιδείκνυνται. Οὖρον γάρ φησιν Ἱπποκράτης ἄριστον τὸ λευκὴν καὶ λείην καὶ ὁμαλὴν τὴν ὑπόστασιν ἔχον. Ἄλλοι δέ τινες πρὸς ἀπαρτισμὸν τοῦ οὔρου προάγοντες οὖρον ἔφασαν ἄριστον εἶναι κατὰ πάντα ὑγιαίνοντι [illegible] τὸ, τῷ πλήθει μὲν ἀναλόγως ἔχον τῷ πινομένῳ, χροιὰν δ' ὑπόπυρρον, ἢ ὑπόξανθον, ὑπόστασιν δὲ λευκὴν, καὶ λείαν καὶ ὁμαλήν. Καθ' ἃς γὰρ ἂν πέψεις τύχῃ διαμαρτὸν τὸ αἷμα τοῦ δέοντος, καὶ τὸ οὖρον σαφῶς συμμεταβάλλεται, καὶ ἐφ' εἷς τισιν [illegible] ἐξαιρέσεσιν. Ἐπεὶ γὰρ τοῦ διὰ παντὸς χωροῦντος χυμοῦ, τοῦ σώματος, τὰ περιττὰ συνεκκρινόμενα φαίνεται τοῖς ἀμείνοσιν [illegible] ἐν ἀποδείξεσι ταῦτα τὰ περὶ τὰς πέψεις πλημμελήματα γεγονότα. Ὥσπερ γὰρ ἐπὶ τῶν ἀποβημάτων, ἂν μὲν λευκὸν καὶ λεῖον καὶ βραχὺ ἢ πλεῖον ὅσον ὑπορρέῃ τὸ πύον, καὶ μηδὲν τι ἐλαφροειδῆ ἐμφερόμενα ἔχῃ, ἀγαθὴν τοῦ ἕλκους ὑποδείκνυσι γεγονέναι τὴν πέψιν, εἰ δέ τι περὶ τούτων λέλειπται διημαρτῆσθαι καὶ τὴν πέψιν δηλοῖ, ὡς ἐνταῦθα διδόναι οἴεσθαι, ἤτοι κακοηθευθῆναι τὸ ἕλκος, ἢ χρονίσαι, ἢ μελανθῆναι, ἤτι ἕτερον μεῖζον ἢ μεῖον παθεῖν, ἀναλόγως τῇ διαμαρτίᾳ τῆς πέψεως, οὕτω δὲ κἀπὶ τῶν οὔρων προσήκει σκέπτεσθαι. Τά τε γὰρ ποιὰ τῶν οὔρων, μὴ φυλάττοντα τὴν ἀναλογίαν, ἀλλὰ συστάσεις ἐκπεφευγῆναι τὸ σύμμετρον τά τε χρώματα τοῦ βαθοῦς ἐπίτασιν τε καὶ ὕφεσιν προσλαβόντα, τά τε παρυφιστάμενα, μήτε χρῶμα, μήτε σύστασιν, μήτε τόπον, μήτε λειότητα τηροῦντα, καὶ ὁμαλότητα, [illegible] τῆς σημάνσεως ἐκφυγόντα, τὸ κατὰ φύσιν τε καὶ σύμμετρον ὁποίαν δέ τινα βλάβην ἐπιγεγονέναι τῷ σώματι. Τάς τε γὰρ ἐπιπολαιοτέρας(?) δυσκρασίας ὁμοιομερῶν τε, καὶ ὀργανικῶν, ἐμφράξεις τε καὶ ἐπιτάσεις, οἵων δή τινων χυμῶν, πέψεις τε, καὶ ἀπεψίας, καὶ τὰ λοιπὰ τῶν κατὰ μέρος ἀξιολόγων παθῶν, αὐτὰ δὴ τὰ οὖρα σημαίνουσι τῷ ταῖς ἐξηγγελμέναις(?) μεθόδοις κεχρημένῳ. Ἐπεὶ δέ τινες ὡς ἀνόνητον τὴν περὶ οὔρων ἀποστρέφονται πραγματείαν, καὶ μηδ' ὁτιοῦν, εἰς διάγνωσιν, ἢ πρόγνωσιν λυσιτελεῖν διατείνονται, ὑῶν καὶ ἵππων, καὶ ζῴων ἄλλων οὔροις τοὺς ἀπειροτέρους ἐξαπατῶντες, βραχέα ἄττα πρὸς τούτους εἰπόντες τῶν καθεξῆς ἐχώμεθα λόγων.

Κεφ. ϛ.

Πρὸς τοὺς ἀνόνητον οἰομένους τὴν ἐκ τῶν οὔρων ἐπίσκεψιν.

Κεφ. ϛ.

Πρὸς τοὺς ἀνόνητον οἰομένους τὴν ἐπὶ τῶν οὔρων ἐπίσκεψιν.

Ἐπειδὴ περίττωμα αἵματος τὸ οὖρον εἶναι λέλεκται τοῖς περὶ τὰ τοιαῦτα σοφοῖς, ἔναιμα δὲ κατὰ πάντα τῶν ζώων πέφυκε, τί καινὸν ἂν εἴη, εἰ καταλληλίαν τινὰ τὰ οὖρα τούτων πρὸς τὰ τῶν ἀνθρώπων κέκτηται. Τοσοῦτον μέντοι διαγινώσκεται ταῦτα ἀλλήλων ὅσαις καθέστηκεν οὐχ ἡ αὐτὴ ἡ πῆξις ἐν πᾶσι πέφυκεν· εἴγε μήθ' αἱ τροφαί, μήτε τὰ γυμνάσια, μήθ' αἱ ἔμφυτοι δυνάμεις τε, καὶ κράσεις τοῖς πᾶσιν αἱ αὐταὶ καθεστήκασι. καὶ τί δεῖ λέγειν ἐπὶ τῶν διαφόρων τῷ εἴδει, ὅπουγε καὶ τῶν αὐτῶν τῷ εἴδει διάφορα ὑγιαινόντων τὰ οὖρα δείκνυται. Διά τε τὰς διαφορὰς τῶν τροφῶν τε καὶ τῶν κράσεων, καὶ ἡλικιῶν, ἐθῶν τε καὶ τόπων, καὶ ὅλως ἄλλο ἀλλοιοῦν εἴωθεν ἕτερον, ἔνια γὰρ ἅπερ ὑγιαίνουσιν ἄλλοις ἐπιφαίνεται, ταῦτα νοσοῦσιν ἑτέροις ἐπιδείκνυται. Τά τε γὰρ τῶν γερόντων οὖρα τοῖς νέοις ἐπιφαινόμενα, μὴ καλῶς ἔχειν παραφαίνουσι. τά τε τῶν νέων τοῖς γέρουσι, παρατετράφθαι φαίνουσι τὴν ὑγείαν. ἐπί τε τῶν νοσούντων, πολλὰς ἂν ἴδοις οὔρων διαφορὰς, κατὰ τὰς τῶν νοσημάτων συμπιπτούσας ποιότητας. ὥστε δὲ καὶ συμπεσεῖν ἐνίοτε, ἀλόγων ζώων οὔροις ἐοικέναι τὰ τῶν μὴ καλῶς ἐχόντων ἀνθρώπων. ὥσπερ φησὶν ὁ σοφὸς Ἱπποκράτης περὶ τῶν ἀνατεταραγμένων οὔρων, ὡς ἐοικότων τοῖς τῶν ὑποζυγίων. Ἐγὼ δὲ δὴ καὶ βεβούλευμαι, περὶ τῶν ἐπὶ συνήθεσι ζώοις τεθεωρημένων διωρίσασθαι οὔρων, ἵν' ὅπως μὴ ὑπὸ τῶν τὰ τοιαῦτα ῥᾳδιουργούντων, ἐξαπατώμεθα. ἀλλ' ἐπειδὴ τὸ μὲν ἀντιπαίζειν οὕτω πρὸς τοὺς κατὰ τῆς φύσεως μωραίνοντας ἀνθρώπους, ἄκαιρον ἐνομίσθη πάμπαν, σχολὴ δ' ἂν εἴη εἴ τις πειρῷτο τὴν τέχνην δοκιμάζειν ἐντεῦθεν, καὶ ταῦτά γε συνιεὶς, ὡς ἐνδέχεται συμπεσεῖν τῷ εἴδει, τὰ τῶν ἀλόγων ζώων τοῖς ἀνθρωπίνοις οὔροις, ἐφ' οἷαις δὴ τισὶ διαθέσεσι, τὸ μὲν οὖν ὅλως ἀκριβολογεῖν πάνυ πάρεργον ἡγησάμενος, ἀρχὴν δὲ προσδιασημηνάμενον τοῖς πειρωμένοις παίζειν, ἵν' οὖ παιδεύς τὸν μὲν περὶ ὅλων ἀρξάμενον λόγον. Ἐξ ἧς ὅτι ἂν εἴη δέον ἐπιέναι τῷ λόγῳ.

Κεφ. ζ.

Ὅτι οὐδὲν ἀπὸ μέρους τῶν σημειωτικῶν παθῶν εἰς τὴν καθόλου τῶν παθῶν ἐπίσκεψιν.

Πρὸς τὸ

Κεφ. ζ.

Πρὸς τὸ

Ὅτι οὐδὲν αὔταρκες τῶν σημειωτικῶν παθῶν εἰς τὴν καθόλου τῶν παθῶν ἐπίσκεψιν.

Τῷ τοίνυν ἀκριβῶς διαγινώσκειν τε, καὶ προγινώσκειν αἱρουμένῳ τῶν παθῶν, τὰ συμβαίνοντα, οὐ μόνον οὔρων ἐπισκέπτεσθαι προσήκει διαφοράς. ὅπουγε καὶ αὐτὰ μόνον ἀρκούντων, εἰς τὴν τῶν λυπούντων παθῶν ἐπίσκεψιν, ἀλλὰ καὶ σφυγμῶν αὐτῶν ἅπτεσθαι, καὶ διαχωρήματα καθορᾶν, καὶ κίνησιν ἀναπνοῆς, ἔτι δὲ θέσιν προσώπου τε, καὶ τοῦ παντὸς κατὰ κλίσιν σώματος. καὶ αὐτῆς δὴ τῆς γλώττης προφοράν. ἵνα τὸ οἰκεῖον ἀμέσως ἐπιχορηγοῦντος ἑκάστου, καὶ μὴ ταῖς ἀλλήλων συμπαθείαις, ἐπικρινομένων, ἀσφαλὴς ἀποδοθείη, ἥτε πρόγνωσις καὶ διάγνωσις. οἱ μὲν γὰρ σφυγμοί, κρίσιν τὸ ποσὸν τῆς τε θερμότητος καὶ ψυχρότητος σημαίνουσι, τὰ δ' οὖρα τό τε ποσὸν καὶ τὴν ποιότητα τῶν χυμῶν, τὰ δὲ διαχωρήματα τῆς γαστρὸς, τὰς πέψεις τε καὶ ἀπεψίας. Αἱ δὲ δὴ προφοραὶ τοῦ λόγου, τὴν ἡγεμονικὴν ἐνέργειαν. Αἱ δὲ [illegible] καὶ κλίσεις τοῦ σώματος, καὶ αἱ τοῦ παντὸς προσώπου διαθέσεις ἄλλα συσσημαίνουσι, καθὼς ἐξ ἄλλων βιβλίων ἔστι μαθεῖν. Οὐδ' οἱ σφυγμοὶ γὰρ πάντῃ ἀκριβῶς παραγυμνοῦσι τὰ πάθη, οὔτε αἱ διαχωρήσεις τῆς γαστρὸς, οὔτε τὰ οὖρα, οὔτε τἄλλα, ἃ δὴ πρὸς διάγνωσιν τῶν κατεχόντων παθῶν ἐξεύρηται, ἀλλὰ ἄλλα μᾶλλον ἑτέρων ἑτοιμότερα, πρὸς τὴν τῶν παθῶν διάγνωσιν γίνεται. ὥστε μὲν λόγῳ τῆς κοινωνίας, καὶ τῆς διὰ πάντων ἐκτάσεως τῶν χυμῶν, καὶ τοῦ πνεύματος οὐ διαλανθάνει ῥαδίως τῶν παθῶν τὰ γινόμενα. καὶ ὅσον ἐς καθολικὴν τῶν παθῶν ἐπίσκεψιν, ἡ τῶν οὔρων θεωρία εὕρηται μετὰ τοὺς σφυγμοὺς, ὅσῳ καὶ μᾶλλον τὸ πνεῦμα διὰ πάντων ἢ τῶν χυμῶν οὐσία διαπεφοίτηκεν. ἔστι τε δ' ἀσφαλέστερον καὶ προχειρότερον, ἡ ἂν τοῖς οὔροις μέθοδος, τῆς ἐπὶ τοὺς σφυγμοὺς καθέστηκεν, ὅσον μὲν ὑπ' ὄψιν μὲν αὕτη τὸ πᾶν ἐκτίθησιν, ὑπ' ἀφὴν δ' ἐκείνη προτίθησι. Καὶ τὸ μὲν οὖν ὄψει κρίνειν, καὶ τὸ μὴ πάμπαν ἀκριβῆ τὴν γνῶσιν, ῥᾴδιον ἴσως. ὥστε καὶ διαγνωσθείη ἂν προχείρως τοῖς τὰ λεγόμενα, τὸ δ' ἀφῇ σφυγμῶν τὰ πάθη διαγινώσκειν ἐθέλειν, νοῦ τε δεῖ καθαροῦ καὶ εὐαισθησίας χειρὸς καὶ προσοχῆς ἴσως ἐσχάτης ἵνα, ἀκριβῶς μάθοι τὰ τῶν κινήσεων διαστήματα, καὶ τοὺς τῶν ἡσυχιῶν χρόνους. Τούς τε τῶν διαλειμμάτων χρόνους, καὶ τὰς τῶν παρεμπιπτόντων πυκνότητας. καὶ ἄλλα ὅσα ἡ περὶ αὐτῶν διέξεισι πραγματεία, ἀκριβῆ μὲν ὄντα καὶ τὰ καταλαμβάνοντα ἐς τὴν τῶν κατεχόντων παθῶν διάγνωσιν, καὶ δυσχερῆ δ' ὅμως πρὸς κατάληψιν.

περιττόν. καὶ τῷ μὲν ἡμαρτηκότι εἰ δοθῇ βραχύ τι, ἂν οἶμαι διαδράσειεν, ἐς τὲ πρόγνωσιν καὶ διάγνωσιν· θατέρα δὲ τῷ λειπομένῳ πολλὴ ἂν ἕποιτο ἡ διαμαρτία, συχνὸν αὐτοῦ τῆς διάγνωσιν τῆς περὶ τῶν οὔρων θεωρίας, τῆς περὶ τῶν σφυγμῶν συντελούσης. Ἀλλὰ ταῦτα μὲν ὧδε κείσθω. νῦν δ' ἐπεὶ περὶ οὔρων διαφορᾶς εἰπεῖν προυθέμεθα, περὶ διαφορᾶς χρωμάτων πρῶτον εἰπόντας, καὶ περὶ τῶν λοιπῶν, εἶθ' ὅσων γενῶν ἄρχεται, ὅσα δὲ τὰ τοῖς οὔροις ἐμφαίνεται, ὁπόσα τοίνυν εἴδη χρωμάτων τοῖς οὔροις ἐμφαίνεται, καθ' ἕκαστον μὲν οὐ ῥᾴδιον ἐστὶ φάναι, ταῖς ποιαῖς τῶν χυμῶν, συμπλοκαῖς τε καὶ πέψεσι, πολλῶν τε καὶ τῶν χρωμάτων ἐπιδεικνυμένων. ἐνεστί γε μὴν τῶν κυριωτέρων διορισθέντων τῷ λόγῳ, ἅτε τούτων ὡς ἀπό τινων ὡρισμένων σημείων καὶ τῶν λοιπῶν καταστοχάζεσθαι χρωμάτων, μὴ διορισθέντων τῷ λόγῳ ὀνομάτων οἰκείων ἀπορία, τὰ λοιπὰ συνεπινοεῖν.

Κεφ. η.
Περὶ Διαφορᾶς τῶν κατὰ τὸ χρῶμα χρωμάτων.

Τῶν οὔρων τοίνυν, τὰ μὲν λευκά, τὰ δ' ὠχρά. τὰ δὲ πυῤῥά. Τὰ δὲ ξανθά, ἕτερα δ' ἐρυθρά. Τὰ δὲ οἰνωπά, κυανά τε ἐπὶ τούτοις καὶ χλωρά, καὶ μέλαινα φαίνεται. ἔτι ἂν τούτοις τῶν πάντων ἀπαρτιζομένων χρωμάτων ἀλλ' ἐντελῶν καὶ τῶν ἐμμέσων τε, καὶ παραμέσων, ὡς πλειόνων ἐνταῦθα ἐπισυνηγμένων χρωμάτων. τῶν λευκῶν οὔρων, τὰ μὲν κρυσταλλοειδῆ, τὰ δὲ χιονοειδῆ, τὰ δὲ ὡς ἀκραιφνὲς ὕδωρ πέφυκε. καὶ ταῦτα μὲν ἐσχάτης ἂν εἴη λευκότητος. Ἐπεὶ δὲ τάς τε ἐπιτάσεις καὶ ὑφέσεις ἐπιδέχεται τὰ γενικὰ τῶν χρωμάτων, Τὰ δὲ ῥηθέντα ἐπιτεταμένης ἂν εἴη λευκότητος, ἐπὶ τούτοις προσθῶμεν τῷ λόγῳ, καὶ ὅσα ὑφειμένης λευκότητος πέφυκεν. ἐπειδὰν τοίνυν, τῆς ἄκρας λευκότητος ὑφίηται ἡ χροιά, τὸ γαλακτῶδες οὕτω καλούμενον, ἀπὸ τοῦ ἐοικέναι γάλακτι παρασκευάζει κρεῖττον μὲν ἐν τῷ θ' ὑελῶδες, καὶ κρυσταλλοειδές. τὸ δὲ γλαυκὸν τοῦτον λειπόμενον, αὐτὸ γε τοι μετὰ τὸ γαλακτῶδες οὕτω καλούμενον ἀναπέφυγε τῷ γλαυκῷ τὴν λευκότητα. καὶ γλαυκὸν μὲν πέφυκεν, οἷον τὸ διαυγὲς ἐστὶ κέρας. χαροπὸν δέ, ὃ παραπλήσιον ὑπολεύκοις ἐρίοις ἔοικεν, εἴτ' οὖν συνεχῶς ἔλω

πῶς

Ἀκτουαρίου Περὶ Οὔρων Διαφορᾶς.

πῶς κεκαυμένῳ λίθῳ. Ἀλλ' ἐπειδάν τινα βαφὴν τὰ οὖρα δέξηται, τὸ κατὰ τῆς ἀπεψίας ἐκπεφευγότα, ὕπωχρα μὲν τὰ πρῶτα γίγνεται, προϊόντα δὲ καὶ ὠχρά. ἀλλὰ τὰ μὲν μετρίως ζεσάσης χολῆς χυλῷ ἔοικε. ἐκεῖνα δ' αὖ, καὶ πάνυ ζεσάσης. εὐθέγε ~ βέλτιον, καὶ οἷον τὸ ἀπὸ τῆς ῥοιᾶς τοῦ φλοιοῦ τε καὶ περικάρπου ζέσαντος ἐκείνου, ὑγρὸν ~ νόμισον συντείνειν. τῶν δὲ χυλῶν πολλῷ ἐοικότων, καὶ τοῦ τῆς ὠχρότητος ὀνόματος, μὴ διαπεφευγότος τῇ συνηθείᾳ τοὺς πλείστους, εἴ γε μὴν, καὶ τῆς οὕτω πως κεκαυμένης ὤχρας, ~~μέτριον προσπεριβάλλεις χυμῷ ἐῤῥώδει~~, ὕπωχρα ποιήσεις χρώματα. πλέον δ' ~ δὲ προσπεριβάλλων τῆς ὤχρας, [illegible] ὠχρὰ τὰ χρώματα ἀπεργάσεις, τῷ [illegible] παρονομασθέντα. Ἐπειδὰν μέντοι πλείων ἐπιχρώσῃ βαφὴ τὴν ὠχρότητα, τῆς ~ πέψεως προχωρούσης, τὰ ὑπόπυρρα τῶν οὔρων, ἃ δὴ καὶ σύμμετρα ὁ λόγος οἶδε. καλεῖν [illegible] πάνυ ἀκριβῶς προσεοικότα χρυσῷ. Τὸ δ' ἐπὶ τούτοις ~ οὖρον καλούμενον, μᾶλλον εὐχροίᾳ καὶ καθαρῷ χρυσίῳ ἔοικε. Μάθοις δ' ἂν ~ τοῦτ' ἴσως καὶ τῶν πλουσίων παρακύψας ταμείοις, εἰ μὴ παρὰ σοὶ χρυσὸς ἀποκείμενος καθέστηκε. ὑπόξανθον μετὰ ταῦτα κνίκου τὴν χροιὰν ἔοικε. Καὶ ἴσασιν οἱ πολλοί, τὸ τοῦ φυτοῦ ἄνθος κνίκου οἶμαι, ὅπερ ὡς ὑποπεπτωκός ἐστι τῇ χροιᾷ τοῦ ἄνθους τοῦ ~ κρόκου. ὡς ἐντεῦθεν δεῖ συλλογίζεσθαι περὶ ὑποξάνθου χρώματος. Τό γε μὴν ἀκριβῶς ξανθόν, κατὰ μηδέν τι διενηνοχὸς φαίνεται τοῦ Κωρυκίου κρόκου, τῶν ἐπ' ἄλλους ~ τόπους τοῦτο διενεγκόντος, τῇ τοῦ χρώματος ἀκριβείᾳ. Ἀλλ' ἵνα μηδὲ πάθῃς αὐτὸν ~ πολὺ διενεγκόντα τοῦτον οἰηθεὶς τῷ χρώματι τῶν λοιπῶν, τῷ ξένῳ τοῦ ὀνόματος, ἐγώ σοι τὸν ἀπὸ τοῦ Ἄθω [illegible] κομιζόμενον. καὶ τοῦ ἐκείνου στοιχεῖ χρώματι πλὴν [illegible] τοῖς [illegible] κρόκου καὶ κνίκου δεῖ τε προσῆκον χρώμασιν, ἐπεὶ πολλοῦ ἂν διαμάρτοις τοῦ δέοντος. Ἐπέρυθρα γάρ, καὶ ἐρυθρὰ ἤδη, τὰ ἐκείνου χρώματα πέφυ=κεν. ἀλλὰ τοῖς ἐξ ἐκείνων ὑγρῶν [illegible] χρώμασι. μετὰ ταῦτα, τὸ ὑπέρυθρον καὶ ἐρυθρὸν τοῦ χρώματος. οἷς δὴ τὰ ἀρκέσει μὲν εἰς παράστασιν, καὶ τὰ φαινόμενα καθά=περ εἴρηται χρώματα τοῦ τε κνίκου καὶ κρόκου. Μάθοις δ' ἂν τῇ τε Ἀρμενίῳ βώλῳ, καὶ τῇ λημνιάσφραγίδι, τὰ ὑπέρυθρα [illegible]. Τὰ δ' ἐρυθρὰ καὶ φοινικᾶ τοῦ χρώματος, τῶν ὀπωρινῶν τοῖς ἐρυθρὰ παραβαλλομένοις χρώματα, κεράσοις δηλονότι καὶ μήλοις, καὶ τισι παραπλησίοις, ὧν τῇ τελειότητι τῆς ἐπιφανείας, καὶ τῇ πέψει, καὶ τὰ ~ χρώματα διενεγκεῖν δοκοῦσι. τὸ οἰνωπὸν ἐπὶ τούτοις, ἀπό γε τῶν μελαντέρων οἴνων

τοὔνομα

τοὔνομα ἔσχηκός, καὶ οἷον πύρρινος τὸ χρῶμα τοῦ ἥπατος ὥσπερ ἂν τοὔθεν, δεῖ τὸν κυανοῦ λογιζόμενον πολλάκις μὲν ἢ προπαρέμφαινόμενα μὴ ἄλλα, εἴη μὲν πολλὴ δ' ἐπιπινόντα τοιοῦτον οἶνον, εἶτ' οὖν ἑωρακότα, τὸν περὶ τοῦ οἰνωποῦ χρώματος λογίζεσθαι λογισμόν. μέμνημαι γάρ τι καὶ ἔγωγε τοιοῦτον ἐν ἀγορᾷ πολλάκις ἑωρακὼς ὑπ' ἐμπόρων κομιζόμενον οἶνον, ὃς ἐπὶ τοσοῦτον κέχρωσθαι τῷ οἰνωπῷ τοῦ χρώματος, ἐξεπιτείναντος μὲν, οἰνωπὸν γέγονεν ἴσως, μάλιστα δ' ἐοικὼς μελαγχολικῷ, ὅθεν καὶ ἔσχηκεν ὁ λόγος ὅδε. Τοῦ δὲ πέρυσι τοιοῦτον, ἐπεί τινὲς ἀμφιγνοήσαιεν ἂν ἐπὶ τούτῳ, οἷον τὸ ἀπολαύσας, ἐς ἀποτέλεσιν ἐξημένου γινομένου. Προσεπιστήσεις δὲ τῇ συγγενείᾳ τοῦ χρώματος, καὶ τὸ τοῦ κυανοῦ καὶ πρὸς, ὅτι μάλιστα πρὸς τὸ μελάντερον ἐπινένευκεν. Ἐπεὶ δὲ καὶ τὸν περὶ κυανοῦ χρώματος ἔχεις λόγον, καὶ περὶ τῶν λοιπῶν, νῦν μάνθανε. τὸ τοίνυν φαιὸν, ἐπίδηλον οἶμαι γεγονέναι τοῖς πᾶσιν ἐξ ἀκράτου λευκοῦ, καὶ μέλανος συγκραθέν. εἰ δὲ καὶ τῇ αἰσθήσει τοῦτο μαθεῖν ἐθέλεις ψιμμύθιον, ἢ λευκὸν πάνυ τίτανον, ἤ τι τῶν παραπλησίων μελανίᾳ καὶ πίσσῃ, καὶ ἀσφάλτῳ, καὶ τισιν ἀκράτοις μέλασιν ἑνώσας χρώμασιν ἰσοσταθμίοις, τὸ φαιὸν ἂν ὧδε χρῶμα γνοίης γιγνόμενον. Ἀλλὰ δὴ περὶ χλωρῶν ὧδ' εἰρηκότες πρῶτον, καὶ ἐλαιωδῶν, περὶ πελιδνῶν, εἶθ' οὕτω καὶ περὶ μελάνων ἐροῦμεν. Ὧν τοίνυν χλωρῶν χρωμάτων, τὰ μὲν κραμβίζοντά εἰσι, τὰ δ' αὖ χλοάζοντα, ἰώδη τε καὶ σμαραγδίζοντα· ὥστε ἐξ ὧν προνομάσθησαν. Ταῦτα δεῖ καὶ μανθάνειν τοῖς ἐκείνων χρώμασι, ταῦτα δὴ παραβάλλοντα. Ἀλλὰ δὴ καὶ τῶν ἐλαιωδῶν, οὕτω κοινῷ τῷ γένει καλουμένων οὔρων, τὰ μὲν ἐλαιοφανῆ τὰ δὲ ἐλαιόχροα, τὰ δὲ ἐλαιώδη ὁμωνύμως, τῷ κοινῷ λέγεται γένει. Τούτων δὲ τῶν τριῶν τοῦ μὲν πρώτου ἔτι ἀμφισβητεῖται τὸ χρῶμα, εἴθ' ὑδατῶδες ἢ ἐλαιῶδες εἴη, ὅτι τοῦ χρωννύντος ἔτι λεπτότητι. Τοῦ δὲ δευτέρου ἤδη ἐπίδηλον ὡς ἤδη τὴν χροιὰν ἐπιτείνοντος. ὅδε ἐλαιῶδες ὁ λόγος ὥρισε, τῇ τοῦ ἐλαίου μάλιστα προσόμοιος χροιᾷ. πλὴν οὐχὶ τῶν παχέων ὄντων, καὶ τῷ χρώματι ἐπιτεταμένων. Ἀλλὰ τῶν μάλιστα λεπτῶν. ἐκεῖνα γὰρ τοῖς ὑπὸ τὸ χλωρὸν ἁρμόζει μᾶλλον εἴδεσιν. Ἐπεὶ δ' ἱκανῶς, καὶ τὸν περὶ χλωρῶν καὶ ἐλαιωδῶν οὔρων, ἐν διαφοραῖς ἐξεθέμεθα λόγον, ἑξῆς ἐπὶ τῶν πελιδνῶν, τῷ λόγῳ ἴωμεν, καὶ μελάνων φαινομένων οὔρων. Τὸ τοίνυν πελιδνὸν τοῦ χρώματος μολιβδόχρουν μὲν ἄν εἴποι τις, σαφηνίζων τὸν λόγον, ὥστε ἐκεῖθεν δεῖ καὶ περὶ τοῦ στοχάζεσθαι. τοσοῦτο δὲ προσνένευκε

τῷ μέλανι

τοῖς μέλασι χρώμασι, ὅσον οἶμαι λέλειπται τοῦ φαιοῦ, ὥστε καὶ αἱ διπλασίῳ λόγῳ ἔχει τὰ μέλανα πρὸς τὰ λοιπὰ χρώματα τῇ συνθήκῃ. ἀκριβῶς ἂν πελιδνὰ ἐντεῦθεν ὀφθείη χρώματα. καὶ πελιδνὰ μάλιστα τοιαῦτα ἂν εἴη, μάλιστα δὲ ἕκαστα ἂν ἀκριβώσειε χρώματα πᾶσιν ἔκδηλα γεγονότα. Προσήκει τοίνυν ἐνταῦθα τῷ περὶ τοιαῦτα σπουδάζοντι ἐπινοῆσαι μὲν τὰ γνήσια χρώματα, καὶ τοῖς πλαξὶν ἐγγράψαι τῆς διανοίας, οὐκ ὀλίγων ἐκ τούτου γινομένων διαγνώσεών τε καὶ προγνώσεων. Προσεπινοῆσαι δὲ τῷ λόγῳ δεῖ, καὶ τὰ τῶν χρωμάτων μὴ διώρισται, τὰ ἐξ [illegible] χρωμάτων, [illegible] ἐγγειτονοῦντα, ἢ ἐπιλαβόντα ἀπὸ τῶν ὁρισθέντων τέλων χρωμάτων, ὡς ἄν τις ἀκριβῶς ταῦτα ἂν γνοίη, ῥαδίως καὶ τὰ διαπεπτωκότα, τῶν ὡρισμένων τέλων χρωμάτων, δι' ὃν δή τινα καὶ [illegible] λόγον. ἔτι οὖν καὶ ἐπιπλέον [illegible] τῷ περὶ διαφορᾶς χρωμάτων προσήκει λόγῳ. Ἱκανῶς ἐνταῦθα πρὸς συνετούς, τῶν πάντων διωρισμένων· τοῖς γὰρ ἂν μάλιστα [illegible] [illegible] τῇ τέχνῃ προσμένειν [illegible], [illegible] πάντα τὰ συνελθόντα πολλάκις φαίη τὰ [illegible] χρώματα συνίστασθαι, πρὸς ἀποχρῶσαν τέλους διδασκαλίαν ἀρκέσει. καὶ ὁ μὲν περὶ διαφορᾶς χρωμάτων Οὔρων λόγος, ὧδ' ἐπιτελείσθω. ἐνταῦθα δὲ προσήκει φάναι καὶ περὶ διαφορᾶς τῶν ἐπὶ τῷ χρώματι συνισταμένων συστάσεων.

Κεφ. ς.

Περὶ Διαφορᾶς τῶν κατὰ τὸ χύμα συστάσεων.

Τὰ τοίνυν οὖρα, ταῖς ἀμίσι διουρηθέντα, πάντα μὲν μικροῦ δεῖν, λεπτὰ φαίνεται, θερμὰ ἔτι ὄντα: Τὸ γάρ τι φυσικὸν θερμὸν ἐπικρατοῦν ἔτι, οὐκ ἐᾷ τὸ χύμα συνιέναι τε καὶ παχυνθῆναι δι' οἵαν δή τινα κινησαμένην πρόφασιν. Τοῦ θερμοῦ δὲ διασκεδασθέντος ἤδη, ἔνια μὲν αὐτῶν, παχύνεται τάχιστα ἔνια δὲ βραδέως. ὥσπερ ποτὲ ἔνια παχέα διουρεῖται, ἔνια δὲ οἷα διουρήθη μένει. Τῶν δὲ δὴ παχυνθέντων, ἔνια μὲν καθίσταται ἔνια δ' αὖ οἷα ἀπ' ἀρχῆς καὶ παχέα γέγονεν ἀδιάκριτα μένει. Ἀλλὰ τῶν μὲν τοιούτων παχέων, τὰ μὲν μετρίως τὰ δὲ πάνυ πεπάχυνται, θολερὰ οἷον τυγχάνοντα, τὰ δ' ἐπιπλέον, τὰ δ' ἐπιπλεῖστον. Καὶ δεῖ καὶ τὴν ἐπὶ τέλους συνιέναι διαφοράν, τῶν δὲ καθισταμένων, τὰ μὲν τὸ παχύτερον ἐπὶ τὸν πυθμένα ἐπισυναγαγόντα,

Ἀκτουαρίου περὶ οὔρων διαφορᾶς.

ἐπισυναγαγόντα, καὶ ταῦτα ἔτι παχέα μένει, ἤτε θολούμενα, ἢ καὶ σύμμετρα καὶ λευκὰ γίνεται τοῦ παντὸς ἐπὶ τὸν πυθμένα πάχους χωροῦντος. ὥστε δεῖ τὰς ἐπὶ τέλους ... διαφορὰς ἀκριβῶς ἐκμανθάνειν, οὐκ ὀλίγα συντεινούσας τοῖς περὶ διαγνώσεώς τε καὶ προγνώσεως λόγοις. ὡσαύτως δὲ δεῖ κἀπὶ τῶν λεπτῶν ἐκμανθάνειν, ὡς οὐ πάντα τῇ αὐτῇ λεπτότητι συνίσταται, ἀλλὰ τὰ μὲν καὶ πάνυ λεπτότατα πέφυκεν, οὐδὲν ὅτι τοῦ διειδεστάτου διενήνοχοντα ὕδατος. Τὰ δὲ τοιαύτης διαπέπτωκε συστάσεως; ἔτι καὶ αὐτὰ τυγχάνοντα, ὅμως δὲ προσνένευκεν τῷ τῇ συστάσει συμμέτρῳ οὔρῳ. Ἀλλ' ὁ μὲν περὶ διαφορᾶς συστάσεως οὔρων λόγος ἱκανῶς ἂν ἐνταῦθα νομισθείη λελέχθαι.

Κεφ. Ι.

Πρὸς τοὺς τῷ θύραθεν μόνῳ καταστήματι τὴν τοῦ πάχους τῶν οὔρων αἰτίαν προσάπτοντας.

Ἐπεὶ δέ τινες τῶν ἀπαιδεύτων, περὶ τὰς τῶν οὔρων κρίσεις, τὰ παχέα τῶν οὔρων οὐκ οἰκεία τινὶ τῶν διαθέσεων, τῶν αὐτοῖς ἁρμοζουσῶν, συμβαίνειν οἴονται, ἀλλὰ τῶν θύραθεν ψυχρῷ καταστήματι, καὶ μάλιστα ὁπόταν ὁρῶσιν λεπτὰ μὲν ἐκκριθέντα, μετ' οὐ πολὺ δὲ παχυνόμενα, καὶ πρὸς αὐτοὺς τὸν λόγον τρεπτέον, καὶ τὴν σφῶν αὐτῶν ἀπάτην ἀποδεικτέον. οἱ μὲν γὰρ τῇ τοῦ θερμοῦ ἀποχωρήσει, οἴονται τὸ θύραθεν ἐπικεφαλοῦν ψυχρὸν ταῦτα παχύνειν. τοῦτο δὲ τοὐναντίον λείπεται ἐς ἀλήθειαν, ὥστε καὶ ἀπὸ τῶν ὁσημέραι φαινομένων ἔστι μαθεῖν αὐτῶν τὴν ἄγνοιαν, ἀεὶ μὲν δηλονότι τῶν οὔρων τῷ θύραθεν προσομιλούντων ψυχρῷ ἀέρι, μὴ πάντοτε παχυνομένων. Ἔπειτα εἰ καὶ μὴν ἐνίοτε τὰ οὖρα παχυνθῆναι ὁπόταν δηλονότι τὸ μὲν περιέχον ᾖ πάνυ χειμῶδες. τὰ δὲ οὖρα ἐν ὑπαίθρῳ διανυκτερεύσωσι καὶ παγῇ ἂν ἴσως ταῦτα μᾶλλον ἢ παχυνθείη. Ἔπειτα εἰ διὰ τὸ περὶ τυχὸν κρυὸς παχυνθείη, διὰ θαλπωρὴν τοῦ περιέχοντος λεπτυνθείη ἄν. Ἀλλὰ μὴν ἔστιν ἰδεῖν κἂν χειμῶνι οὖρα λεπτότατα, καὶ μὴ τῶν θύραθεν τι κινήσαντος ψυχροῦ. κἂν θέρει παχύτατα, μηδὲν αὐτὰ τοῦ θερμοῦ διαλύοντος. εἶτα τί ποτ' ἄρ' ἂν καὶ φαῖεν οἱ σεμνοὶ τῶν οὔρων ἐπόπται. ὁπόταν

νῦν μὲν

τῶν μὲν οὖρον λεπτὸν δείκνυται, τὴν δ' ἐπισχοῦσαν παχυνθὲν, τοῦ αὐτοῦ δὴ κἂν ἀμφοτέροις καταστήματος γεγονότος. πῶς δ' ἂν καὶ προγνοῖεν ὅτι πολὺ βέλτιον ἡ μεταβολὴ καὶ τί ποτε αἰτίας γέγονεν ἐκεῖ δοκεῖ, πολλ' ἂν σφαλεῖεν τ' ἀληθοῦς ἀποπεπτωκότες. Τίσι δ' ἂν σημείοις ἂν τοῖς οὔροις πλῆθος χυμῶν ἢ πέψεως ἀρχὴν ἐπιγνοῖεν, μηδ' ἂν ἔχοντες ἐπὶ πάχεσιν οὔροις κρίνειν τὸ σύνολον. ἔπειτα τὸν σφῶν αὐτῶν λόγον συνιστᾶν πειρώμενοι, θερμοῖς ὕδασι τὴν ἀμίδα καθιᾶσι, καὶ ταύτην ἐπιλείπουσαν πρὸς βραχὺ, δεικνύουσι λεπτυνθεῖσαν. μὴ συνιέναι ἔχοντες, ὡς οὐχ ἧττον τοῦ φυσικοῦ, τὸ τεχνικὸν θερμὸν τὰ οὖρα διαλύειν πέφυκεν, εἴ τινα πάχος σχοίη· ἀλλ' οὐδ' ἐν τούτῳ πρὸς ἀποχρῶσαν αὐτοῖς ἀπολογίαν πέφυκεν. Ἔτι δυεῖν ἀμίδων τῷ αὐτῷ περιεχομένων ἀέρι, καὶ τῆς μὲν παχυνομένης, τῆς δ' ἑτέρας ὡς εἶχεν ἐπιφαινομένης: τίνα ἄν τις αἰτίαν ἀποδοίη, εἰ μὴ ἣν νῦν ἡμεῖς ἐροῦμεν ἐν οἰκείοις τόποις; Εἰ γάρ τι τὴν τοῦ περιέχοντος ψυχρότητα αἰτιάσονται, δέδοικα μὴ ἁλῶσιν ἀπατηθέντες, τῆς ἑτέρας ἀμίδος λεπτῆς μενούσης. Ἀλλ' αὐτῆς μὲν ἀρκούσης ἴσως τῆς ἀπαιδευσίας εἰς ἔλεγχον, ἱκανὸν ἂν δόξῃ καὶ τὸ ῥηθέν, ἡμεῖς δὲ τῶν ἑξῆς ἐχόμενοι λέγωμεν. Ἐπεὶ τοίνυν δέδεικται τὰ μὲν τῶν οὔρων τελεῖν παχέα, τὰ δ' αὖ λεπτά· ἐκεῖνα δὲ σύμμετρα ἐπιδιείλομεν δὲ καὶ ταῦτα ὡς ἐνεδέχετο, νῦν ἂν προσῆκον εἴη περὶ διαφορᾶς τῶν ἐν τοῖς οὔροις παρυφισταμένων, φάναι.

Κεφ. ια.

Περὶ Διαφορᾶς χρωμάτων τῶν παρυφισταμένων.

Τῶν τοίνυν κατὰ φύσιν παρυφισταμένων, λευκῶν μὲν ὄντων, καὶ λείων καὶ ὁμαλῶν καὶ πρὸς ἔτι τῇ συστάσει συμμέτρων, καὶ πρὸς τὸν πυθμένα χωρούντων, ἡ κατὰ φύσιν τελεία πέψις τελεῖται. Ἐπειδὰν δὲ εἴθ' ὑπερβάλλει ταῦτα, εἴτα ἐλλείπει τῶν κατὰ φύσιν τούτων γνωρισμάτων, καὶ τὴν ὑγείαν παρατετράφθαι δηλοῖ. ῥητέον τοίνυν ὧδε περὶ τῶν ἐνδεχομένων τοῖς φαίνεσθαι χρωμάτων, εἶθ' οὕτω καὶ τῶν ἑξῆς, κατὰ τὸν αὐτοῖς ἀνήκοντα λόγον. Τῶν τοίνυν παρυφισταμένων τὰ χρώματα, τὰ μὲν σύμμετρα καὶ κατὰ φύσιν

ὑπόλευκα:

ὑπόλευκα· τὰ δ' ἐκπίπτοντα τοῦ τοιούτου συμμέτρου παρυφισταμένου, ὧν τὰ μὲν [illegible] τῇ λευκότητι, τὰ δ' ὑπόχλωρα καὶ ὠχρὰ φαίνεται. Τὰ δὲ καὶ [illegible] ἔτι χρώννυται, χολώδη τε φαινόμενα καὶ ὀροβοειδῆ, ὑπέρυθρά τε καὶ ἐρυθρά, καὶ πρὸς τούτοις διά- [illegible] ματα καὶ ὀρνώδη, φαιά τε καὶ μελανά. Ταῦτα καὶ τὰ τοιαῦτα τῶν παρυφισταμέ- νων πέφυκεν χρώματα. Καὶ τούτων δεῖ σκοπεῖν, ὡς περὶ τῶν μὴ ἐκθανόντων, ἐμ- περιεχομένων μόνοι, καθὼς κἀν τοῖς περὶ διαφορᾶς χρωμάτων τῶν οὔρων εἰρή- καμεν. ὁ μὲν δὴ περὶ διαφορᾶς χρωμάτων τῶν παρυφισταμένων, ὡς ἐν βραχὺ φάναι λόγος, οὗτος ἔστι· νῦν δὲ περὶ συστάσεως ἐροῦμεν.

Κεφ. ιβ΄.

Περὶ διαφορᾶς συστάσεως τῶν παρυφισταμένων.

Τὸ τοίνυν σύμμετρον τῆς τοῦ παρυφισταμένου συστάσεως, ὁποῖον μέν ἐστιν ἡ πεῖρα [illegible] δείκνυσιν. Ἵνα δὲ καὶ τῷ λόγῳ εἴη διωρισμένον, οὕτω πως φαμὲν περὶ συστάσεως συμμέ- τρου τοῦ παρυφισταμένου. Τὸ σύμμετρον τῇ συστάσει παρυφιστάμενον, [illegible] μήτε [illegible] πέφυκε τοῦ χύματος, διὰ τοῦτο γὰρ καὶ ἐπίπλεον τῷ οὔρῳ ῥᾳδίως πέφυκεν, μὴ ὡσαύτως αὐτὸ τῷ χύματι τῆς ὄψεως διαπεραιουμένης, ἀλλὰ πρώταις μὲν ἐπιβολαῖς αὐτοῦ ἀνασπαρασσομένης, τῇ περιοράσει δὲ καὶ τοῦτο διαπεραιουμένης. Ἐπεὶ τοίνυν τὸν περὶ τοῦ συμμέτρου συστάσεως τοῦ χύματος ἀκήκοας λόγον ἔξεστί σοι, ὥσπερ ἀπ' ἀσφαλοῦς [illegible] σημείου, τά τε λεπτὰ καὶ παχέα ἔχειν, τῶν παρυφισταμένων εἰδέναι, πλὴν ἀλλὰ καὶ ἡμῖν ῥηθείη ἂν ὧδε τὰ δέοντα· τῶν τοίνυν λεπτῶν παρυφισταμένων, ὅσα μᾶλλον συγκοινωνεῖ τοῦ χρώματος τῷ χύματι, ἧττον διαφαίνεται, τῶν ἀφισταμένων μᾶλλον τοῦ χρώματος τοῦ χύματος, ὥστε δεῖ καὶ τοῦτο προσδιορίσασθαι τῷ λόγῳ. Τούτων δὲ τὰ μὲν [illegible] διαπίπτοντα τοῦ συμμέτρου, τὸ δ' ἐπιπλεόν, ἄδη καὶ ῥᾳδίως ἄν τις ὁρῴη. Τὰ δ' ἐπιπλεῖστον, ἃ μόλις ἄν τις ἀκτῖνα

τοῦ ἡλίου διὰ

τοῦ ἡλίου διὰ τῆς ἀμίδος διαβιβάσας ἴδοι. Τῶν δ' ἐπὶ πάχος ἀπὸ τοῦ συμμέτρου χωρούντων παρυφισταμένων, τὰ μὲν μᾶλλον φαίνεται παχύτερα, ὥστε μὴ ῥᾳδίως ἤδη ταῦτα διαπερᾶν τὴν ὄψιν· τὰ δ' αὖ ἐπὶ πλεῖστον, οὐχ ἧττον αὐτῆς τῆς ὄψεως, ἀναπαυομένου τοῦ λόγου. Οὐ γάρ τοι οἷον τε πλέον ἐκείνου τοῦ πάχους ἐν τοῖς παρυφισταμένοις, οἰηθῆναι τῷ λόγῳ, ἤδη συστάσιν τῷ πύῳ ἐοικόσιν. Ἰστέον μέντοι, καὶ τοῦτο τῷ λόγῳ ὡς περὶ πάντων νῦν φαμὲν παρυφισταμένων, ὡς κἄν τε τῆς τρίτης εἴη ταῦτα δηλονότι πέψεως περιττώματα, κἄν τε χυμῶν ὠμῶν κόμματα, κἄν τε πύαλα, καὶ τῶν αὐτοῦ ἀγγείων θρύμματα; τὰς γάρ τοι διαγνώσεις αὐτῶν, ἐν οἰκείοις λόγοις θεοῦ διδόντος ἀποδώσομεν, νῦν δὲ τῶν ἑξῆς ἐχόμενοι, καθ' εἱρμὸν λέγομεν.

Κεφ. ιγ.

Περὶ διαφορᾶς τόπων τῶν παρυφισταμένων.

Τοῦ τοίνυν διαστήματος τοῦ χύματος τριχῆ διῃρημένου, εἴς τε πυθμένα δηλονότι τῆς ἀμίδος καὶ τὴν ἐπιφάνειαν, καὶ τὸ τῶν ἀμφοτέρων τούτων παρ' αὐτὸν μέσον, τὰ μὲν πρὸς τὸν πυθμένα τῆς ἀμίδος χωροῦντα παρυφιστάμενα, ὑποστάσεις ἔφασαν οἱ περὶ τὰ τοιαῦτα σοφοί, ἀπὸ τοῦ ὑφίστασθαι δηλονότι, τῆς ὑπὸ πρεσβυτέρως θέσεως τὴν κλῆσιν ἐσχηκότα· ὅσα δὲ χωρεῖ πρὸς τὸ τοῦ παντὸς διαστήματος μέσον ἐναιωρήματα, ἀπὸ τῆς αἰώρας οἶμαι, τῶν ἀμφοτέρων ὡς ἴσμεν ἀφεστηκότας περάτων, ὅσα δ' αὖ πρὸς αὐτὴν χωρεῖ τὴν ἐπιφάνειαν νεφέλας ὡς ἀπονεύσας, ἀνάλογον τῇ γῇ τιθέντες τὸν τῆς ἀμίδος πυθμένα· ἐπεὶ καὶ πρὸς αὐτὸν χωρεῖ τὰ βαρύτερα τὸν πυθμένα. κοινῷ δὲ ταῦτα καὶ γενικῷ ὀνόματι παραφυστάμενα λέγεται, ἀπὸ τοῦ ὅπου δήποτε τοῦ χύματος παρυφίστασθαι, καὶ οὕτω μὲν τὸν περὶ τοῦ τόπου τῶν παρυφισταμένων λόγον διεῖλον πάλαι ἰατρῶν παῖδες, ἀρχὰς ὥσπερ τῶν ἐν ἰατρικῇ θεωρημάτων κείμενοι. Ἔξεστι δὲ καὶ οὕτως ἐπιδιελεῖν τὸν λόγον οὐκ ὀλίγα εἴς τε πρόγνωσιν συνοίσοντα καὶ διάγνωσιν. Τῶν τοίνυν ὑποστάσεων, (χρηστέον γὰρ ὧδε τοῖς τεθεῖσιν ὀνόμασιν) αἱ μὲν τὸν ἄμεμπτον κατειλήφασι τόπον, ἤδη πάνυ ἅπτονται τοῦ τῆς ἀμίδος πυθμένος, οὔτ' ἂν ἀφιστάνται, αἱ δέ γε καὶ τὸν οἰκεῖόν τε καὶ ἄμεμπτον ἐκλελοιπυῖαι τόπον, καὶ αὐταὶ ἐπιδιαιροῦνται τῷ λόγῳ.

Αἱ μὲν γὰρ

Ἀκτουαρίου περὶ οὔρων διαφορᾶς.

Αἱ μὲν γὰρ αὐτῶν, προσέχονται πρὸς τὸν πυθμένα πάντη, αἱ δ' αὖ βραχύ τι τοῦ πυθμένος καὶ πλέον τοῦ προσήκοντος αὐταῖς ἀφίστανται, φεύγειν ὥσπερ πειρώμεναι τὸν ὁρισθέντα τόπον ταῖς ὑποστάσεσι. Τῶν δὲ ἐναιωρημάτων ὅσα μὲν τὸν ἀκριβῶς μέσον τοῦ παντὸς διαστήματος ἐπείληφε τόπον, τὸν ἀκριβῆ τῶν ἐναιωρημάτων εἴληφε λόγον. ὅσα δ' εὖ ὑποβέβηκεν, ἢ ὑπερῆρται, ἐναιωρήματα μὲν ἄν, καὶ ταῦτα κληθείη, τῇ τῶν ὀνομάτων καταχρήσει, ἐπεὶ καὶ τῶν περάτων ἀμφοτέρων ἀφέστηκεν. οὐκ ὀλίγα δὲ καὶ ταῦτα εἴωθε λυσιτελεῖν τῇ περὶ οὔρων πραγματείᾳ ὅτῳ διοριζόμενα. ὥστε τρεῖς δεῖ καὶ τοὺς ἐπὶ τῶν ἐναιωρημάτων εἰδέναι τόπους.

Τῶν δὲ νεφελῶν, αἱ μὲν βραχύ τι δέονται τῆς ἐπαφῆς τῆς ἐπιφανείας, αἱ δ' αὖ πάντη πρὸς αὐτῇ τῇ ἐπιφανείᾳ νήχονται. Ἐπεὶ δὲ καὶ τρίτον ταύταις τόπον ἐδεήσαν, ἐπεὶ μὴ ἐνεδέχετο καὶ περαιτέρω χωρεῖν, ἐπιλείποντος τοῦ χύματος, ἀνάγκης ὥσπερ ἡττωμέναι, ἀντιστραφεῖσαι, αὐτῷ δὴ τῷ πυθμένι προσπεφύκασι κατὰ κράτος: Οἱονεὶ πειρώμεναι, καὶ τὸν μεταξὺ αὐτῶν τῆς ἐπιφανείας καὶ τοῦ τῆς ἀμίδος πυθμένος τόπον ἐξαφανίσαι, οὕτως ἀκριβῶς πράττει τοῦ χύματος, τὸ διάστημα, περιίσχεται τῇ ἀμίδι, ὥσπερ τοὺς πολύποδας φησὶν ἐν ταῖς πέτραις ἀκριβῶς ἔχεσθαι. Ἐπεὶ τοίνυν δέδεικται τρεῖς μὲν κοινοτέρους τόπους τῶν παρυφισταμένων τυγχάνειν, εἰς τρεῖς δ' ἕκαστον ἐπιδιείλομεν τόπους, ὡς ἑνὸς τῶν δὲ καλουμένων τυγχάνειν πάντας τούτους δεῖ μανθάνειν ἀκριβῶς τὰ μάλιστα συνιέντας. Ἵνα δ' ἀκριβῶς εἰδῇς τὸν λόγον τοῦτον, ἐπὶ παραδείγματος ὧδε παραθήσω.

Νόησόν μοι διάστημα ὡσεὶ ἕνδεκα δακτύλων, ἢ πήχεων, ἢ παλαιστῶν, ἢ ὅτι καὶ βούλει καὶ τέσσαρας μὲν λόγισαι ἐπὶ τῷ ἐνδεχομένῳ τόπῳ ταῖς ὑποστάσεσιν, ἕνα δὲ ἐπὶ τῷ πέρατι μὲν τῶν ὑποστάσεων, ἀρχῇ δὲ τῶν ἐναιωρημάτων, τρεῖς δ' αὖ ἐπὶ τῷ τόπῳ τῶν ἐναιωρημάτων ὥσπερ καὶ ἕτερον μὲν ἐπὶ τῷ πέρατι τῶν ἐναιωρημάτων, ἀρχῇ δὲ τῶν νεφελῶν. Δύο δ' αὖ ἐπὶ τῶν νεφελῶν. Καὶ ὁ μὲν τῶν συμμέτρων νεφελῶν τόπος, ὁ ὕστατος δὲ καὶ ὑποπέμπτος, ὁ δέκατος. ὁ δ' ἐπὶ πλέον ὑπερηρμένος, ὁ ἀντιστραφεὶς ἐπὶ πυθμένα πρῶτος. τῶν δ' ὑποστάσεων τῶν ἀκριβῶς δίκαιον ἐχουσῶν τόπον, ὁ τρίτος ἔσω δάκτυλος. Ἐπαιρομένων δ' αὖ ὁ τέταρτος, ὥσπερ ὑφιζανουσῶν, ὁ δεύτερος. Κἀπὶ τῶν ἐναιωρημάτων αὖθις, ὁ μὲν πάντη μέσος, ἔσω ἕβδομος. ὥσπερ τῶν μὲν ἐπαιρομένων

πλέον,

πλέον, ὁ ὄγδοος. Τῶν δ' ὑποβαινόντων μᾶλλον ὁ ἕκτος. Πέμπτος δὲ μὴν καὶ ἕνατος, οὐ καταδέξαιντο τὰ παρυφιστάμενα. ὁρισμοὶ μᾶλλον ἢ τόποι γεγόνασι τῶν παρυφισταμένων, τοῖς οὔροις. Ἀλλ' ὁ μὲν περὶ τοῦ τόπου τῶν παρυφισταμένων λόγος, ἱκανῶς ῥηθεὶς, ὅθεν ἐπισκέψαιτο τάχα δ' ἄν τις αὐτὸν, καὶ ἀπὸ τοῦ διαγράμματος γνοίη· νῦν δ' ἐπιθήσομεν τῷ λόγῳ τὰ λείποντα.

Κεφ. ιδ'.

Περὶ λειότητος καὶ τῶν ἀντικειμένων παρυφισταμένων.

Τῶν τοίνυν κατὰ φύσιν παρυφισταμένων πρὸς τοῖς ἄλλοις, καὶ λεῖον εἶναι ὁριζομένων· πρῶτον μὲν ῥητέον, ὁποῖα εἴη τὰ λεῖα, εἶθ' οὕτω καὶ τὰ τούτοις ἐναντία. Λεῖα τοίνυν εἴη παρυφιστάμενα, ὅσα συνεχῆ πρὸς ἑαυτὰ τυγχάνει, καὶ ὡς ἂν οἷον συνεχὲς ἐπισυνημμένα σῶμα· μήτε πως διαλελυμένον. Καὶ τοῦτο μὲν ἂν εἴη τὸ κατὰ φύσιν τε καὶ λεῖον παρυφισταμένων. Τῶν δὲ παρὰ τοῦτο, τὰ μὲν, ἀπώλεσε τὴν συνέχειαν, ὡς ἤδη ταῦτα γλίσχρα τυγχάνειν. Τὰ δὲ ταῦτα διέλυσαν, ὡς ἤδη ταύτην εἶναι τραχεῖαν καὶ τῶν μὲν γλίσχρων παρυφισταμένων, τὰ μὲν, μετρίως τοῦτο πέπονθεν, ὥστε διακινηθείσης τῆς ἀμίδος, καὶ ταῦτά πως διαλύεσθαι, τὰ δ' ἂν

ἐπιπλέον

ἐπιπλέον ὥστε καὶ σφόδρα κινούμενα τῆς ἀμίδος καὶ πάνυ μετρίως ταῦτα διαλύεσθαι. τὰ δ' ἔτι τὸ γλισχρὰ εἴ τι γένηται ῥᾳδίως διαλυθείη, ἀγχήεστα γεγονότα ἤδη τῶν δὲ τεταχυνομένων περιφισταμένων τὰ μὲν, μὰν, μετρίως τοῦτο πάσχει διακεκρινομένων αὐτῶν τῆς ὄψεως ἀντετιλαμβανομένης. Τὰ δ' αὖ ἐπὶ πλέον, ὡς ἤδη τὸ πλέον ἐπιλαμβάνειν τοῦ βάθους, τε καὶ πλάτους τοῦ χύματος. Τὰ δ' ἄλλα ἐπὶ πλεῖστον ὡς ἤδη τὸ πᾶν αὐτοῦ τοῦ πλάτους τε καὶ τοῦ βάθους, καὶ τοῦ μήκους πλέον ἐπιλαμβάνειν. οἷον καταπαρματιζόμενον, καὶ τοιοῦτος μὲν ἂν τοι εἴη ὅδε τῆς λευκῆς τε καὶ γλίσχρου καὶ παχέος λόγος, καὶ δεῖ μανθάνοντος σπουδαῖον ἐνταῦθα, ὅτι ὀλίγα τοῦ ἐπὶ τελείας λόγου, τοῖς μάλα ταῦτα συνείσοντος.

Κεφ. ΙΕ.

Περὶ ὀροβοειδῶν καὶ πιτυροειδῶν καὶ πεταλωδῶν τε, καὶ κριμνωδῶν ὑποστάσεων.

Ἐπὶ τούτοις θέμις εἰπεῖν περὶ τῶν ὀροβοειδῶν καὶ πιτυροειδῶν, πεταλωδῶν τε, καὶ κριμνωδῶν ὑποστάσεων. ὑποστάσεις γὰρ ταύτας θέμις καλεῖν ἀεὶ τὸν τοῦ τῆς ἀμίδος πυθμένα ἐπιζητούσας. Τὰ γὰρ εἰδῶν τούτων μετέχοντα, ἐπινηχόμενα περιφιστάμενα, ὅτι ἀπὸ τῆς αὐτῆς αἰτίας πάσχουσιν. ὡς γοῦν τὰ αὐτὰ ἂν σημαίνειεν πάθη. Ἀλλὰ δεῖ πρότερον περὶ τούτων εἰπόντας, καὶ τῶν ἐοικότων ταύταις, εἶθ' οὕτως ἐροῦμεν. αἱ τοίνυν ὀροβοειδεῖς τῶν ὑποστάσεων. καὶ ἀπ' αὐτοῦ μὲν τοῦ ὀνόματος δῆλαι, προσεπισημήνωμεν δὲ καὶ ἡμεῖς τὸν λόγον. Τὸν ὄροβον οἶδε πᾶς τις, τῶν χεδροπῶν ὄσπριον τυγχάνοντα. πολλαχοῦ δὲ γεωργούμενον τῆς γῆς, ἐρυθρὸν δὲ οἷον τῷ εἴδει τυγχάνοντα. ὁπόταν οὖν τούτοις παραπλήσια τὰ περιφιστάμενα ἴδοις, τότε δὴ τότε μάθοις καὶ τὰς ὀροβοειδεῖς τῇ ὄψει ὑποστάσεις νῦν γὰρ τῷ λόγῳ σοὶ μόνῳ διαζωγραφῶ. οὐχ ἧττον δὲ, καὶ αὗται κατ' ἐκείνας θρομβώδεις εἰσίν. ὥστε καὶ ἀπὸ τούτου συνιέναι ἔχεις ἀσφαλέστερον τὸν περὶ τούτων λόγον, πιτυροειδεῖς δ' εἰσὶν ὑποστάσεις. αἳ δὲ πιτύροις ἐοίκασι τοῖς ἀκριβῶς ἀποτετριμμένοις σίτου. αὗται δὲ μῆκος διωρισμένον ἔχουσι καὶ ὡς πίτυρα ἔνδηλα φαίνονται. ὥστε μανθάνειν ἐκεῖθεν προσήκει, ἀπὸ σφῶν

αὐτοῦ τούτων

οὕτω τῶν καθωνομασμένων εἰδῶν, ὥστε μηδ' ἐπὶ πλέον τὸν περὶ τούτων λόγον μηκύνειν ἄρχοντα. οἷον ... ἐπὶ τῆς αὐτῆς ἐπικειμένης ὀνόματος. Πεταλώδεις εἶναι ὑποστάσεις ὁ λόγος, αἱ δὲ πετάλοις ἐοίκασιν, οὐ μέντοι κατὰ μῆκος, τοῦτο γὰρ πάνυ τῷ λόγῳ φαίνεται ἄποικος, ἀλλὰ κατ' εἶδος. Πέταλα δ' οἴδαμεν ὠνομασμένα, ὅσα μῆκος μὲν καὶ πλάτος ἔχει, οὐ μέντοι πρὸς τούτοις καὶ βάθος, ἐπίπεδον. Ταῦτα δὲ καὶ οὕτω καλούμενα, καὶ τὰ ἐκ [illegible] [illegible] ἐπὶ ταῖς γυναιξὶν ἐξαιρούμενα. Ἀλλὰ δὲ καὶ ὁ πεταλίτης οὕτω καλούμενος λίθος εἰς τὰ τοιαῦτα εἴδη καταταμνόμενος φαίνεται· ὥστε ἐξ αὐτῶν δεῖ καὶ περὶ τούτων στοχάζεσθαι. Λείπεται ἤδη φάναι καὶ περὶ τῶν κριμνωδῶν ὑποστάσεων, ἀπ' αὐτῶν δὲ τῶν κριμνῶν οὕτω καλουμένων. Κρίμνα δὲ πάντως ἴσμεν λελεγμένα, ὅσα μὴ καλῶς ἀληλεσμένων σίτων, ἢ κριθῶν ἐπιφαίνεται πιτυρώδη. Τὰ γὰρ τῶν πιτύρων ἀδρότερα, κρίμνα λέγεται, οὐ κατὰ πίτυρα, ἀλλ' ἤδη τριχῇ διάστατα τυγχάνοντα. Καὶ κριμνώδεις μὲν διὰ ταῦτα καλοῦνται ὑποστάσεις. Λείπεται δ' ἤδη φάναι καὶ περὶ τῶν συμπεπλεγμένων τε καὶ ἑτεροειδῶν παρυφισταμένων ἀνομοιομερῆ δ' αὖθις, καὶ ταῦτα φαίη.

Κεφ. 15.

Περὶ διαφορᾶς τῶν συμπεπλεγμένων τοῖς παρυφισταμένοις.

Ἐνίοτε γὰρ καὶ ταῦτα ποικίλα φαίνεται. Καὶ ποτὲ μὲν οἷα τὰ κρίμνα συνεμφέρεται τινὰ τοῖς παρυφισταμένοις. Ποτὲ δὲ οἷα τὰ πίτυρα, ὥσπερ καὶ εἶεν αἱ πεταλώδεις τε καὶ ὀροβοειδεῖς. Ἔστι δ' ὅτε καὶ οἷον τρίχας συναπιφαίνεται τινὰ, τοῖς παρυφισταμένοις, παλαιστιαῖα. ἢ μείω τε καὶ μείζω. ἐνίοτε μέντοι καὶ οἷον σφύγματα ὑπέρυθρα βραχύτατα, καὶ ταῦτα πάντα ἢ μείω φαίνεται ἢ πλείω. Ὅτι δὲ τούτων ἕκαστον βούλεται, ἐν τοῖς ἰδίοις τόποις, ὕστερον· ὥσπερ καὶ τὰς αἰτίας ἀποδώσομεν ἐν τοῖς περὶ αἰτίας Οὔρων λόγοις.

Κεφ. ιϛ.

Περὶ τῶν ἐπινηχομένων τῷ χύματι.

Κεφ. ΙΖ.
Περὶ τῶν ἐπινηχομένων τῷ χύματι.

Νῦν δὲ εἴπωμεν καὶ περὶ τῶν ἐπινηχομένων τῷ χύματι. Ἐπινήχονται τοίνυν τῇ τῶν οὔρων ἐπιφανείᾳ, πομφόλυγες, αἳ δὴ καὶ λάμπαι λέγονται, καὶ τινὰ συντήγματα. Ἀλλὰ πρῶτον εἰπόντες καὶ περὶ τῶν ἐπινηχομένων συντηγμάτων, εἶθ' οὕτως λέξομεν καὶ περὶ τῶν ἐπινηχομένων πομφολύγων. Ἐπιφαίνεται τοῖς οὔροις τοίνυν ἐπινηχόμενα [illegible] οἷον ἀράχνια, οἷα δὴ μάλιστα τὰ συνεχῆ, καὶ ταῖς ὀθόναις ἐοικότα, ἀλλ' οὐχὶ ὁποῖα τὰ μὴ πάντη συνεχῆ· κύκλων μὲν μειζόνων, ἐπὶ μικροὺς ἐμπεριφερομένων, γραμμῶν δὲ τούτους ὀρθῶν τε καὶ λοξῶν τεμνουσῶν, ἀπὸ τοῦ κέντρου μὲν ἠργμένων, ἐπὶ τὰ πέρατα δ' ἀφικνουμένων. Ἔστι δ' ὅτε φέρεται καὶ οἷον στίγματα ἐλαίου, μείω τε καὶ πλείω, καὶ λεπτότερα, καὶ παχύτερα, ὥσπερ ἐπὶ τοῖς λιπώδεσι ζωμοῖς ψυχθεῖσιν ἐπινήχεται τὸ καλούμενον ἀπὸ πολλῶν γραῦς. Ἀλλὰ ταῦτα μὲν ἐπίδηλα ἐστι τῷ ὑποχρόῳ τοῦ εἴδους· ὥστε οὐ δεῖ περὶ τούτου πλείω λέγειν. Ἐμφέρεται μέντοι ἐνίοτε, καὶ μάλιστα περὶ τὴν στεφάνην, οἷον τινα τριχία, μείω μὲν πάνυ τῶν ἤδη ῥηθέντων, ἀδρότερα δ' αὖ. Καὶ δεῖ καὶ ταῦτα προειδέναι τὸν σπουδαῖον. Τάχα γὰρ ἂν καὶ περὶ αὐτῶν διέλθωμεν, καὶ μετ' οὐ πολύ, ἐν ἰδίοις λόγοις τοῦ γράμματος ἀπαντήσαντος. Νῦν δὲ τὸν περὶ διαφορᾶς πομφολύγων ἐπιθῶμεν λόγον, καθάπερ [illegible] συνεθέμεθα.

Κεφ. ΙΗ.
Περὶ διαφορᾶς πομφολύγων.

Τῶν τοίνυν πομφολύγων, τῶν μὲν πάνυ μειζόνων πεφυκυιῶν: τῶν δ' αὖ λίαν μικρῶν, συμμέτρων δὲ τῶν ἄλλων· Αἱ μὲν διὰ πάσης τῆς ἐπιφανείας, ἴασι τοῦ οὔρου, αἱ δ' αὖ διὰ μόνης τῆς στεφάνης, ἢ καὶ διὰ πάσης τῆς στεφάνης, ἢ διὰ μέρους, οὐχ ὅλης αὐτῆς, ἢ διὰ τινῶν αὐτῆς μερῶν ἐνεσπαρμένων, ἢ διὰ τῆς στεφάνης, καὶ τοῦ μέσου τῆς ἐπιφανείας,

ἐπιφανείας, ἢ διὰ μέσης μόνης τῆς ἐπιφανείας, ἢ πῶς ἀνωμάλως ἑτέρως καὶ συμπεπλεγμένως, διά τε τῆς ἐπιφανείας καὶ τῆς στεφάνης. Αἱ δὲ διὰ τῆς στεφάνης ἴσαι, ἢ δίστοιχοι, ἢ πολύστοιχοι πεφύκασι καὶ ἢ πᾶσαι μικραὶ ταῖν ἰσομεγέθεις ἢ μείζους, αἱ πρὸς τὸ μέσον μᾶλλον χωροῦσαι. ὡσαύτως δὲ καὶ κατὰ τὸ τῆς ἀμίδος ὕψωμα, ἢ μονόστοιχοι, ἢ δίστοιχοι, ἢ τρίστοιχοι, ἢ πολύστοιχοι. Ἐπεὶ δὲ δύο τινὰ λέληθεν ἡμᾶς, μὴ ἀκριβῶς διορισθέντα τῷ λόγῳ, καὶ ταῦτα νῦν ἤδη σαφηνείας χάριν προσυποθήσομεν. Ἓν μὲν οὖν ἐστὶ τῶν παραδραμόντων ἡμᾶς τὸ περὶ τῶν πομφολύγων. Τάχα γὰρ ἄν [illegible] περὶ τῶν ἅμα τῷ διεκριθῆναι τὰ οὖρα, ἐπινηχομένων λέγειν. Ἀλλ' οὐκ ἔστιν ἐνδοῦναι τοῦτο θέμις: ἀλλὰ περὶ τῶν ἐπιμενουσῶν μετὰ τὴν τοῦ παντὸς ἐπιστάντος οὔρου κατάστασιν. Ἐκεῖνα τε γὰρ ἀπαθῶς δοκοῦσιν ὑπὸ τοῦ περιέχοντος τυγχάνειν, καὶ τῷ μὴ παθεῖν, λυθῆσιν, ὑπὸ μείζονος ἐπικρατεῖσθαι τῆς αἰτίας. Αἱ γὰρ [illegible] μετ' οὐ πολὺ συνδιαλυόμεναι τῆς οὐ κρίσεως, ἀφαυροτέρας ἔχουσαι τὰς αἰτίας, καὶ ῥᾳδίως διαλύονται. ὥστε καὶ περὶ τῶν ἐπιμενουσῶν ἐπὶ πολὺ δεῖ σκέπτεσθαι τῶν πομφολύγων, καὶ τὰς ἐπὶ ταύτας δεῖ μανθάνειν αἰτίας τε καὶ διαγνώσεις. Τό γε μὴν ἕτερον τῶν λειφθέντων πέφυκεν, ὁ περὶ στεφάνης λόγος. Τάχα γὰρ ἂν ἐκπλήξειε τοὺς πολλοὺς ἐκκειμένης ἐπιφαινομένην τινὰ τοῖς οὔροις στεφάνην, καὶ μὴ καταλαμβανομένην τῇ τοῦ σκοποῦ ἀγνοίᾳ. Στεφάνην τοίνυν φαμὲν τὴν κατὰ τὸν κύκλον τῆς ἐπιφανείας τοῦ χρώματος περιθέουσαν ἐστιγμασμένην γραμμήν. Εἴγε δὴ τοῦτο καὶ αἱ ἀμίδες οὖσαι στρογγύλαι κατὰ κύκλον περιγράφουσι, καὶ τὰς τῶν οὔρων ἐπιφανείας. Ἀλλ' αὗται μὲν ἐπὶ τὰ πέρατα τῶν ἐπιφανειῶν ἐπιγραφόμεναι, κυκλοτερῶν μὲν ὄντων καὶ τῶν ἀμίδων, εἰκότως ἂν ῥηθεῖεν στεφάναι τῷ τοῦ σχήματος [illegible]. Τετραγωνίων δὲ καὶ πολυγωνίων κατὰ τύχην ὄντων, αἱ μὲν διατρέχουσαι τὰ πέρατα πομφόλυγες, οὐκ ἂν ἔτι δικαίως ἐπιστεφάνης περιθέειν λεχθεῖεν τῷ τοῦ σχήματος ἀφαιρέσει. Τὰ αὐτά γε μὴν ἐκείναις, τὰ λόγοι διαγνώσεώς τε καὶ αἰτίας, φαῖεν ἂν δήπουθεν. Ἀλλ' ὁ μὲν περὶ διαφορᾶς πομφολύγων λόγος, τοιοῦτος ἂν εἴη. ὥστε καὶ αὐτὸν ἀσκεῖν ἀπροσήκειν, οὐχὶ τὰ μέγιστα συντείνοντα τοῖς ἑξῆς λόγοις. νῦν δ' ἐπιθῶμεν τῷ λόγῳ τὰ λείποντα.

Κεφ. ΙΘ.

Περὶ διαφορᾶς ἑτεροχροίων τοῦ χρώματος στεφάνης.

Κεφ. ιθ.

Περὶ διαφορᾶς ἑτεροχρόων τοῦ χύματος στεφάνης.

Στεφάναι τοίνυν ἕτεραι πολλαὶ τῶν ῥαθεισῶν τυγχάνουσαι, προσφορώτερα τὴν ἐπιφάνειαν πάρεισι τῆς ἀμίδος. οὐκ ἐπινηχόμεναι τῷ χρώματι κατὰ τὰς πομφόλυγας. Ἀλλὰ μᾶλλον οὖσαι πέρατα τῶν χυμάτων. Τῶν γὰρ δὴ χυμάτων οἱ τῶν ἐν κεχρωσμένων χρώματι, αὗται περιέχουσιν, ἑτέρου παρυφίζουσαι χρώματος, ἢ τοῦ λευκοῦ, ἢ πυρροῦ, ἢ χολώδους, ἢ χλωροῦ καὶ μέλανος, καὶ οἷ ἐθέλοινος ἑτέρου· καὶ μέντοι ταῦτα ἀκριβῶς ἐνατενίζουσι, ῥᾳδίως φαίνεται. Ἀλλ' οὐχὶ μᾶλλον οἷον παραβλέπουσιν, ὥσπερ ἐπὶ τῶν ἀμυδροτέρων κινδύνων συμβαίνειν εἴωθεν. ῥᾷον γὰρ αὐτῶν ἡ κόρη παραβλέπουσι, ἢ ἀτενίζουσι φαίνεται ἀμαυρουμένων ὥσπερ τῆς ὄψεως ἀκριβουμένης, ἢ μᾶλλον ταύτης ἐγκλινομένης τῷ πλείονι τοῦ χρώματος, καὶ τοῦ φωτός. καὶ ταῦτα μὲν ἐπὶ τῷ περὶ στεφάνης εἴρηται λόγῳ, συνοίσοντα τόποις ἰδίοις. νῦν δὲ τῶν ἑξῆς ἐχόμενοι λέγομεν. ἔδοξαι μοι τοίνυν, καὶ τὰς ἐνδεχομένας συμπλοκὰς συνίστασθαι χρωμάτων τε καὶ συστάσεων, καὶ παρυφισμένων προστιθέναι τῷ λόγῳ. Ἐπεὶ δὲ πρὸς τὸ πολυσχιδὲς, καὶ δυσδιεξίτητον ἔδοξεν εἶναι τὸ πρᾶγμα, καὶ ἐπεκτεινόμενον ἐπ' οὐδενὶ δέοντι, τὸ μὲν οὕτω γράφοντά με συμπλέκειν, μὴ πάνυ παρῆκα. Ἐπεὶ γὰρ τῷ μὲν παρόντι λόγῳ, τὰς διαφορὰς ἐκτίθημι τῶν οὔρων, οἱ δὲ μετὰ τοῦτον ἕξουσι τὰς διαγνώσεις, καὶ αἰτίας ἅμα καὶ προγνώσεις· ῥᾳδίως ἂν ἔχοι ὁ περὶ τὰ τοιαῦτα ἐσπουδακὼς προσεπιπλέκειν μὲν τοῖς χρώμασι συστάσεις, χρώμασί τε καὶ συστάσεσιν, παρυφισμένα διαφορά, κατά τε χρῶμα καὶ σύστασιν, καὶ τόπον καὶ λειότητα, καὶ ὁμαλότητα καὶ κατὰ τὰς τούτοις ἀντικειμένας διαφοράς. Ῥᾳδίως δὲ καὶ διακρίνειν ἕξει, ὁποῖα μὲν ἂν δέχεται τῶν συμπλεκόντων συνίστασθαι, ὁποῖα δ' ἂν μή. ὥστε καὶ συμπλέξουσι μὲν αὐτός, εἴ τις περὶ τὰ τοιαῦτα σπουδαῖος ἂν διατρίψειεν, ἢ μετρίαν πρόφασιν ἐν [illegible] ἐπιχορηγηθήσεται. Εἰ γὰρ τις προμεμαθηκὼς εἴδειν, ἐπὶ ποίοις μὲν αἰτίαις ἕκαστον τῶν τε χρωμάτων, τῶν τε χυμάτων, καὶ παρυφισμένων. καὶ ἕκαστα τῶν ἐπὶ τούτοις συστάσεων, καὶ τ' ἄλλα τῶν κατὰ μέρος, γνοίη δὲ ὅτι ἕκαστον [illegible] ῥᾳδίως μὲν τἂν συμπλέξειεν ταῦτα· προχείρως δὲ συμπλέξας,

καὶ τὰς

καὶ τὰς ἐπ᾽ αὐτοῖς αἰτίας τε καὶ διαγνώσεις ἐπιθήσει τοῖς συμπλακεῖσιν. Ἀλλ᾽ ὁ μὲν περὶ τούτων λόγος τανῦν ἀφείσθω.

Κεφ. α.

Περὶ ἀνωμαλίας χρωμάτων, καὶ συστάσεων.

Ἑξῆς δ᾽ ἐπὶ τούτοις προσήκει σκέπτεσθαι τὰς ἀνωμαλίας τῶν ἐμφερομένων τοῖς οὔροις χρωμάτων, καὶ συστάσεων, καὶ προσέτι τῶν παρυφισταμένων, καὶ τὰς ἐπὶ ταύτας αὖθις διαφορὰς τῶν χρόνων. Τὰ γάρ τοι τῶν οὔρων χρώματα, ἢ ἐπὶ τοῦ αὐτοῦ ἀεὶ μένει, ἢ μεταβάλλεται, καὶ μεταβαλλόμενα, ἤτοι ἐπὶ τὰ χείρω τῶν χρωμάτων φέρεται, ἢ ἐπὶ τὰ κρείττω καὶ προϊόντα· ἢ ἐπὶ τὰ ἔσχατα τῶν χρωμάτων πρόεισιν, ἢ μένει στάντα τῆς ἐπὶ τὰ πρόσω φορᾶς, βραχύ τι ἴσως προϊόντα. Ἐπεὶ δ᾽ εἰκὸς ταῖς μείζοσι τῶν ἀλλοιώσεων τῶν χρωμάτων συμμεταβάλλεσθαι. καὶ τὰ παρυφιστάμενα συνεφεῦρε· καὶ τὰς ἐπὶ τούτοις γεγονυίας ἀνωμαλίας ταύτας κατά τε χρώματα, καὶ τὰς συστάσεις, καὶ προσέτι καὶ τὰς ποιότητας καὶ τὰ λοιπὰ διαστήματα. Ἔπειτα καὶ αἱ διὰ πλείονος, ἢ μείζονος ταῦτα μεταβάλλεται τοῦ χρόνου, προσήκει σκέπτεσθαι. οὐχὶ τὰ μέτρια λυσιτελοῦσιν καὶ τοῖς ἐπὶ τὰς μεταβολὰς τῶν χρόνων παρατηρήσεως. ἐπεὶ δ᾽ εἰώθασιν ἐνίοτε συναλλοιοῦσθαι, καὶ αἱ συστάσεις· ἐγὼ δ᾽ αἰεὶ τούτου πίστει μείζονος, ἢ κατὰ χρώματα δεόμενα τῆς κινήσεως, καὶ τὰς αὐτῶν χρεὼν ἂν εἴη ἐκμανθάνειν μεταβολάς, καὶ τοὺς ἐπ᾽ αὐταῖς ὡσαύτως χρόνους ἐξετάζειν, καὶ εἴτε προσαίτερον ἢ ὀψιαίτερον ἐπιγίγνονται πολυπραγμονεῖν, οὐχ ἥκιστα δὲ τούτων εἴς τε πρόγνωσιν λυσιτελούντων καὶ διάγνωσιν. Κἀκεῖνο δὲ θέμις, εἰδέναι ὡς αἱ μὲν τῶν ἀνωμάλων πεφύκασι τεταγμέναι, αἱ δ᾽ αὖ ἄτακτοι. καὶ δεῖ καὶ ταῦτα εἰδέναι τε καὶ σκέπτεσθαι. πολλὰ γὰρ ἂν ἴσως εἰδείης καὶ ἐκ τούτων, ἐς διάγνωσιν λυσιτελοῦντα καὶ πρόγνωσιν. Καίποτε ἴσως ἔχεις τεταγμένας ἀνωμαλίας, χείρους τῶν ἀτάκτων ἀνωμαλιῶν, αἱ δὲ καὶ συμβήσονται ἐν τοῖς αὐτοῖς προσήκουσι τόποις. Τὸ γὰρ νῦν ἔχον περὶ διαφορᾶς μόνων οὔρων εἰπεῖν, προυθέμεθα ἵνα μᾶλλον σαφέστερον τὸν λόγον διασκευάσωμεν

ὧδέ πως

ὧδέ πως ἐπὶ παραδείγματι τέλους χρησόμεθα. Αἱ τῶν χρωμάτων ἀνωμαλίαι γίγνονται, ὁπόταν ἀφ' ἑτέρου χρώματος εἰς ἕτερον γένηται ἡ μεταβολή. Εἰ γὰρ τοίνυν μὲν τὸ οὖρον εἴη λευκὸν ἔπειτα δὲ πυρρὸν, τὴν δ' ἐπιοῦσαν ἑτέραν ἢ τοὐναντίον, νῦν μὲν ὑπέρυθρον, τὴν δὲ ἐπιοῦσαν ὑπόπυρρον, ἢ πυρρόν. εἶτ' αὖθις δὲ ὠχρὸν, ἢ λευκόν. καὶ δὴ καὶ ἄλλως νῦν μὲν ὑπέρυθρον. εἶτ' αὖθις δὲ χλωρὸν, ἢ κυανοῦν, ἢ μέλαν, κἀκείνου νῦν μὲν ὑπέρυθρον εἶθ' οὕτω πυρρὸν, καὶ χαροπὸν, ἐπὶ τέλους ἢ γαλακτῶδες. ἢ πῶς ἑτέρως ἔχον ὡς καὶ συμπλέξαι: ἐνδέχεται ποτὲ μὲν ὑγιῶς, ποτὲ δὲ ἐκείνης κεκινημένης, καὶ νικώσης τῆς ζωτικῆς δυνάμεως γίνεσθαι. Αἱ γάρ τοι διαφοραὶ τῶν πέψεων, κἄν τε φαύλως, κἄν τε ἀγαθῶς ἐναρμόζωνται, ἐπὶ ταῖς τῶν οὔρων φαίνονται μεταβολαῖς. πολλὰς δ' ἂν ἴδοις ἐπὶ ταῖς συστάσεσι τὰς ἀνωμαλίας τὸν νοῦν προσέχων τοῖς γιγνομένοις ἑκάστοτε. Ποτὲ μὲν γὰρ δι' ὅλου παχέα γίγνεται τὰ οὖρα, μηδ' ἥντινα οὖν διάκρισιν ἔχοντα. ποτὲ δ' οὖν ὑφιζάνει τέλους κάτω πρὸς τὸν τῆς ἀμίδος πυθμένα τὸ παχύτερον, καὶ τοῦ λοιποῦ παχέος τυγχάνοντος. ἐνίοτε δ' αὖθις τὸ πᾶν τοῦ πάχους πρὸς τὸν πυθμένα χωρεῖ. ἔστι δ' ὅτε πάλιν θρομβοῦν τὸ πάχος, ἀναχωρεῖ τὸ χῦμα, μᾶλλον καὶ ἧττον, τὰ δ' αὐτὰ ἐπὶ τῶν λεπτῶν γίγνεται. ποτὲ μὲν πάνυ λεπτυνομένων, ποτὲ δ' αὖ ὀλίγων ἤτοι δὲ μετὰ τοῦ φαύλου, ἢ ἀμείνονος χρώματος, αἱ τοιαῦται τυχοῦσι συστάσεις, ὥστε κἂν ταύταις ἐπιπλέξαι τοῖς χρώμασιν, πλείους οἶμαι καὶ τὰς ἐξ αὐτῶν ἀνωμαλίας ποιήσαις. Αὗται γε μὴν πᾶσαι αἱ ἀνωμαλίαι, ἢ τεταγμένως γίγνονται, ἢ ἀτάκτως; εἰ γὰρ μέχρι τοσούτου χρόνου ἥ τοιαδὲ σύστασις μετὰ τοιοῦδε χρώματος ἐπικρατοίη, μετὰ τοῦτον δὲ τὸν χρόνον, εἴθ' ἡ σύστασις, εἴτε τὰ χρώματα· εἴτ' ἀμφότερα, εἴτ' ἀλλοιοῦνται, εἴτ' αὖθις τὰ πρῶτα γίγνεται καὶ τοῦτο κατὰ πολλὰς εἴη περιόδους, τεταγμένη τις ἂν εἴη ἀνωμαλία. τοὐναντίον δ' τοῦ ἀτάκτως. ὁπόταν ὅπως ἔτυχεν ἡ μεταβολὴ τῶν τε χρωμάτων γένηται, καὶ τῶν συστάσεων ἐπ' ἀτάκτοις δηλονότι περιόδοις τε καὶ χρόνοις. Ἵνα δὲ σαφέστερον προαγάγωμεν τὸν λόγον ὧδε ἐπὶ παραδείγματι τέλους χρησόμεθα. εἰ τοίνυν δυοῖν μὲν ἐφεξῆς ἡμέραιν τὰ λευκὰ δὲ οὖρα φαίνεται, τῇ τρίτῃ δ' αὖ κιρρά, καὶ αὖθις τῆς τετάρτης τε καὶ πέμπτης ὁποῖα καὶ τῇ πρώτῃ μὲν καὶ τῇ δευτέρᾳ, τῇ δὲ ἕκτῃ

ὅμοια

ὅμοια τραπέντα γίγνεται τοῖς ἐπὶ τρίτοις. Καὶ τοῦτο ἐπὶ πολλαῖς ἑξῆς ἡμερῶν συμβαίνῃ(?) περιόδοις, τεταγμένη τις ἂν ῥηθείη ἀνωμαλία. Εἰ δὲ τυχὸν ἐφεξῆς μὲν ἐν δυοῖν ἡμέραιν, τὰ αὐτὰ δὴ εἴη οὖρα, τῇ τρίτῃ δὲ μεταβάλλεται, ἀλλοῖα δ' ἂν γε τῇ τετάρτῃ, ἕτερα δὲ τῇ πέμπτῃ, καὶ μὴ κατάλληλας περιόδους, τὰ αὐτὰ δὴ γίγνονται. ἀλλ' ὡς ἔτυχε καὶ ἀτάκτως, ἀνώμαλος ἂν ὧδε ῥηθείη ἀταξία. μαθεῖν γε μὴν ἐπὶ τούτοις ἔξεστι τὰς αἰτίας τε καὶ διαγνώσεις, καὶ προγνώσεις, ὁπόταν δηλονότι τὸν περὶ τούτων λόγον ποιησώμεθα.

Κεφ. ια.

Περὶ ἀνωμαλίας τῶν παρυφισταμένων, περὶ τάξεως καὶ ἀταξίας ἑκάστου τούτων.

Αἱ αὐταὶ ἂν συμβαῖεν ἀταξίαι τε καὶ ἀνωμαλίαι, κἀπὶ τῶν παρυφισταμένων ποτὲ μὲν χωρούντων πρὸς τὸν πυθμένα. Ἐνίοτε δ' αὖ αἰωρουμένων, καὶ αὖθις μέχρι αὐτῆς ἐξικνουμένων ἐπιφανείας, καὶ νῦν μὲν λείων φαινομένων(?) αὖθις δὲ σκεδαννυμένων, καὶ νῦν μὲν λευκῶν, αὖθις δ' εἰς ἕτερα μεταπιπτόντων χρώματα, καὶ ποτὲ μὲν εἰς λεπτότητα μεταβεβλημένων ἐκ παχύτητος, ποτὲ δ' αὖ ἐκ λεπτότητος εἰς παχύτητα, καὶ ποτὲ μὲν ἄνωθεν κάτω τὰ παρυφιστάμενα χωροῦσι τάχιον(?), ποτὲ δ' αὖ ἄνω κάτωθεν μεταφερομένων(?) δηλονότι τῶν τε χρωμάτων καὶ τῶν συστάσεων, καὶ πολλὰς ἂν μάθοι ἐπὶ τούτων τὰς ἀνωμαλίας, ἐξετάζων τὸν λόγον. Ἡ μὲν γὰρ ἀπόχρη τὰ ἐνταῦθα, ἀφαιρουμένης τῆς σπουδῆς, τὴν πλείω τῶν λόγων παράτασιν. Ἐπεὶ τοίνυν χρὴ(?) ἡμῖν καθέστηκεν ῥᾴδιον τὰ καθ' ἕκαστα τῶν οὔρων συντιθέναι(?), ὥστε μακρὰ ἀποτείνειν φάσκειν λόγους ἐθέλοντι, καὶ τῷ ἐξετάσαι συνιέναι τὰ περὶ τὰ τοιαῦτα ῥηθησόμενα σπουδαίῳ ἐκ τῶν προρηθέντων, καὶ τὰ λείποντα συλλογίσασθαι. Ὅτε λόγοις ἀρκοῦν δὲ καὶ μῆκος ἔχειν ταῖς βραχυλογίαις σπουδάζουσιν, ὡς ἐνταῦθα μὲν τοῦτο καταπαυστέον, ἀρκοῦν ἀπαιτεῖν(?) φθάσαι(?) μᾶλλον. Ἐπεὶ δὲ τὸν περὶ διαγνώσεως οὔρων λόγον κατὰ τοῦτον μεταβαίνομεν(?), χρεὼν γὰρ τῷ τὰ τῆς τέχνης ὄργια μυουμένῳ, πρῶτον μὲν διαφορὰς οὔρων συνιέναι, ἵνα

ἀκριβῶς

ἀκριβέστερον μεμαθηκὼς, ὁποῖά τε καὶ πόσα τοῖς οὔροις ἐπιφαίνεται χρώματα, καὶ καθ' οἵων ἐνδέχεται συστάσεων ἀναφαίνεται, εἶθ' οὕτως καὶ τὰς διαγνώσεις ἐκμανθάνων. Ἐπεὶ προεγνωσμέναι ταῖς διαφοραῖς τῶν οὔρων τοῖς γὰρ οὕτως ἀχθεῖσι ῥαδίως ἂν διαγνωσθείη, ὁποῖα τὰ θεραπευτέα. Ἐπὶ τέλει δὲ ἐστὶν καὶ ὁ περὶ αἰτίας οὔρων λόγος (διασημαίνων ἐφ' ὁποίαις δή τισιν αἰτίαις οἷα δή τινα τῶν οὔρων γίγνεσθαι· ἴσως γὰρ ἂν εἰ πολλὰ λυσιτελήσει ὁ περὶ αἰτίας οὔρων λόγος). Ἔχει γε μὴν ἐπὶ τέλει, τὸ περὶ τῆς ἀπὸ τῶν οὔρων προγνώσεως βιβλίον διανοιγούσης, ὥσπερ τοῖς διαγνώσεως τὰς προγνώσεις. Τὸ γὰρ ἀκριβῶς διαγινώσκοντι, καὶ τὸ ἀσφαλῶς ἐγγίνεται προγινώσκειν, καὶ τούτων μὲν ἐπάρχεσθαι (Θεοῦ διδόντος) διαλέξεται ἐν ἰδίοις λόγοις. Ἡμεῖς δ' ἐνταῦθα πέρας ἐπιθέντες τῷ λόγῳ, ὥσπερ ἀφ' ἑτέρας ἀρχῆς τῶν μετὰ τοῦτον λόγων ἀψόμεθα.

Τοῦ περὶ διαφορᾶς οὔρων βιβλίου τέλος.

ΑΚΤΟΥΑΡΙΟΥ
ΠΕΡΙ
ΔΙΑΓΝΩΣΕΩΣ ΟΥΡΩΝ
ΤΟ Α·

Ἀκτουαρίου Περὶ Διαγνώσεως Οὔρων.

Τάδε ἔνεστιν ἐν τῷ α περὶ Διαγνώσεως Οὔρων λόγῳ.

Ἐπειδὴ

Ἀκτουαρίου περὶ διαγνώσεως οὔρων τὸ α.

Ἐπειδὴ τὸ μανθάνειν ἐθέλειν τὰς ἐκ τῆς τῶν οὔρων σημειώσεως τῶν ὁποίων δή τινων τοῦ σώματος διαθέσεων διαγνώσεις, ἐκ τοῦ πρῶτον εἰδέναι τὰς τῶν διαφορῶν ἐγγίνεται, ἐξ ἀνάγκης ἡμεῖς ἀνωτέρω περὶ διαφορᾶς οὔρων λόγον ἐκθέμενοι· καὶ πᾶν αὐτοῦ παρακάνθες τῆς μεθόδου, λείποιτ' ἂν ἴσως φάναι περὶ διαγνώσεως οὔρων. ὃ δὴ καὶ λυσιτελέστατον τῇ τέχνῃ καθέστηκεν. Εἰ γὰρ μὴ ῥᾳδίως ἔχοι τὴν ὁ ἰατρὸς διαιτᾶν. Ἄλλως τε θεραπευτικὸν προσάγειν τοῖς ὅλως κάμνουσι σώμασιν, εἰ μὴ αὐτίκα διαγνοίη ὁποῖόν ἐστι τὸ κατέχον πάθος εἴη τυγχάνον, πάνυ ἂν οἶμαι λυσιτελήσειν τὸ ἔχω τὰς ὁποίας δή τινας μεθόδους τῶν διαγνώσεων, ἐξευρημένας τῇ τέχνῃ. Ἄλλαι μὲν οὖν μέθοδοι τῶν διαγνώσεων, ἄλλοις μᾶλλον ἀρχοῦσι πάθεσι· κοινὴ δὲ ὥσπερ καὶ διὰ πάντων χωροῦσα διαπεφοίτηκεν ἡ ἐκ τῶν οὔρων ἐπίσκεψίς τε καὶ διάγνωσις. Ἐπικαίρως μὲν ἂν φαίνοιτο ὅσα περὶ τὰς κατὰ τὰς πρώτας φλέβας πέψεις ἐπισυμβέβηκεν καὶ ἀπεψίας, καὶ ὅσα περὶ τὴν τρίτην πέψιν, καὶ προσέτι, ὅσα περὶ τοὺς νεφροὺς καὶ κύστιν, καὶ τὰ οὐρητικὰ ἀγγεῖα. Ἐπὶ τέλους δ' αὖ ἐρεῖ αὐξήσεις τε χυμῶν καὶ μειώσεις, ἐμφράξεις τε καιρίων πόρων, καὶ ὅσα ἐπὶ τέλεσι γίγνεται περὶ ὧν ἂν εἴη φάναι τοῦ λόγου προϊόντος. Ἀλλὰ δὴ πρῶτα μὲν ὧδε ῥητέον περὶ ἀμίδος, τε καὶ τόπου, καὶ χρόνου, καθ' ὃν προσήκει τὰς τῶν οὔρων ἐπισκέψεις ποιεῖσθαι. εἶθ' οὕτω τῶν οἰκειοτέρων ἔχεσθαι λόγων.

Κεφ. α.

Περὶ διαφορᾶς ἀμίδων, ἐν ᾧ καὶ περὶ τῆς μάλιστα ἐπιτηδείου.

Αἱ τοίνυν ἀμίδες ἔστωσαν ἐκ λευκῆς μὲν πάνυ καὶ λεπτῆς ὑέλου κατεσκευασμέναι, ἵνα ἀκριβῶς τὰ χρώματα διαφαίνηται, ἔνιαι μὲν γὰρ ὑποχλωρίζουσαι κἀντεῦθεν μὴ ἀκριβεῖς διαφανεῖς τυγχάνουσι. Τῷ γὰρ λευκῷ τοῦ χρώματος ἡ διαφάνεια ἕπεται, ἀφαιροῦνταί τι τοῦ χρώματος, ἴσως καὶ τῆς συστάσεως· ἀλλ' οὐδ' ἀκριβῶς ὁρᾶται ταῦτα τὰ παρυφιστάμενα ὡς ἐκεῖνα μᾶλλον ἔχειν δεῖ. Τὰ δὲ σχήματα αὐτῶν ὄντα διάφορα· τάχ' ἄν τι καὶ λυμαίνεται τῆς ἐπ' αὐτοῖς διαγνώσεως· ἐπεί τι καὶ τοῖς τισι κυρίαις, καὶ μάλιστα εἰ τύχοι πάνυ μέτριον ὂν τὸ οὖρον καὶ διαδοθὲν ἐπὶ τὸ πλάτος μόνον βραχύ τι ἐφαπλούμενον τοῦ κατὰ μῆκος διαστήματος, οὐκ ἔστι γνῶναι τὰ παρυφιστάμενα, ὁποῖον τόπον εἴληχε τοῦ κατὰ μῆκος διαστήματος, τοῦ οὔρου βραχέος πεφυκότος. Ταῖς δὲ ἀνωμαλίαις οἷαι δὴ καὶ νῦν κατασκευάζονται ἐπὶ μήκεσι πάνυ

οὔσαις,

οὔσαις, καὶ τὸ μὲν κάτω εὐρύτερόν πως ἐχούσαις, ἐπὶ συναγομέναις δὲ, καθ' ὅσον ἂν ἴσχωσιν ἀπὸ τοῦ πυθμένος. αὐτὸν δ' ἐχούσαις τὸν πυθμένα ἐξέχοντα μὲν, πάνυ δὲ ἐπισυνῃρημένον· εἰς μὴ τὸ διακινεῖσθαι, εἴπου δέοι τὰ οὖρα, καὶ πλείω δὴ, εἴπερ εἴη τὰ οὖρα ὅλα δέξασθαι πολύχωρα γὰρ τὰ ἀγγεῖα, χρήσιμοι ἂν ἴσως εἶεν εἰς τὴν ἐπιτηδειοτάτην ἐπιτηρήσεως οὔρων· ἢ τὴν ἐν λυσιτελείᾳ τῶν λοιπῶν ἀμίδων, εἰ δὴ καθὰ τὸ σχῆμα ταῖς ὑελίναις ταῖς ἐκπώμασιν ἔοικεν, οἷς δὴ τὰ χρώματα οἱ πίνοντες. ὥστε εἰ δέοι καὶ τὰ μάλιστα λυσιτελοῦντα σχήματα τῶν ἀμίδων μανθάνειν, τὰ τοιαῦτα μᾶλλον ἂν δόξειεν λυσιτελέστατα. Δεῖ γε μὴν τὰς ἀμίδας ταύτας, μήτε ζώναις τισὶ δεῖν ἐξ ὕαλος ὡς ἐπὶ προσθήκαις, μήτε τοὺς πυθμένας αὐτῶν πάλιν κοιλοῦσθαι εἰσάγοντας, ἀλλ' ὡς ὄντας ἁπλοῦς, καὶ λείους. ἀντὶ δὲ καὶ βραχὺ μείζους εἶεν τῶν συνήθων τούτων ἐκπωμάτων· ἵνα καὶ τὰ ποσὰ τῶν οὔρων ὁλοκλήρως δέχοιτο, ἐπισκεπτέα ἂν εἴη. Ἀλλ' ὁ μὲν περὶ σχήματος ἀμίδος λόγος τοιοῦτος. Περὶ δὲ τῆς τῶν οὔρων ἐπισκέψεως οὕτω πως λέγομεν.

Κεφ. β.

Περὶ ἁρμόζοντος τόπου ἐν ᾧ δεῖ τὰς τῶν οὔρων ἐπισκέψεις ποιεῖσθαι.

Ἐπεὶ δὴ οἱ λαμπροὶ πάνυ τῶν τόπων ἀναιροῦσί τι τοῦ χρώματος πρὸς τὸ ζοφῶδες τοῦτο μεταβάλλοντες, οἵ τε πάνυ λαμπροὶ, καὶ ἡλιοειδεῖς τῇ πολλῇ διαφανείᾳ πάντη πολλὰ τὰ χρώματα ποιοῦσι φαίνεσθαι. Δεῖ πάντως δεῖ καὶ τοῦτο παρατηρεῖσθαι, καὶ τὰς ἐξ ἀμφοτέρων τόπων ἐπιπροσθήσεις, ἐπὶ τὰς ἀκριβεῖς τῶν οὔρων ἐπισκέψεις ὡς ἀφαιρουμένας τῆς ὀντότητος τῶν χρωμάτων πειρᾶσθαι φεύγειν. καὶ τὸν μέσον τόπον τοῦτον ἐπιζητεῖν, ὡς μηδὲν τι τῶν χρωμάτων ἀδικοῦντα, κἂν μὲν οὖν διαφαίνηται σαφῶς τὰ [illegible] ἀρκεῖσθαι δεῖ. Εἰ δέ πη τὸ πάνυ εἴη ἀμυδρὰ, καὶ οὐκ ἐπίδηλα, τότε δὴ τότε καὶ πρὸς τὸν ἥλιον αὐτὸν προσάγειν τὰ οὖρα, ὡς διαφανῆ, καὶ τὰ λανθάνοντα ἐν τῷ ἐπιπολῆς τόπῳ.

Κεφ. γ.

Περὶ χρόνου καθ' ὃν εὐκαιρότερον τὰ οὖρα ἐπισκέπτεσθαι.

Κεφ. γ.

Περὶ χρόνου καθ' ἂν ἀκριβέστερον τὰ οὖρα ἐπισκέπτεται.

Ἐκεῖνο δὲ τῶν προσφιλεστάτων ἂν δόξειεν εἰ τῷ λόγῳ δηλονότι προσδιορισθείη ὁ χρόνος, καθ' ὃν μάλιστ' ἄν τις εἰκότως τὰς τῶν οὔρων ἐπισκέψεις ποιήσαιτο· ὅθεν δὴ καὶ περὶ τούτων ῥητέον ὧδε τῶν λυσιτελεστάτων ῥηθῆναι δόξαντα. Τὰ τοίνυν οὖρα τὰς ἀμίστους διουρηθέντα ἔτι μὲν ὑπόθερμα τῇ ἁφῇ τυγχάνοντα μόνον ἀκριβῶς διδόασιν ἐνορᾶν. Παρυφιστάμενα δέ, καὶ συστάσεις, καὶ πρὸς τούτοις πομφόλυγας, οὔπω ἀκριβῶς ἐπίδηλα πέφυκεν. Τῶν γὰρ πομφολύγων, αἱ μέν, τῷ διαπνεομένῳ συνδιαρρέουσι θερμῷ, αἱ δ' αὖ συμπαραμένουσιν, ἀποψυχθέντι τῷ οὔρῳ; ἤτοι πᾶσαι, ἢ ἔνιαι. Τὰ δὲ παρυφιστάμενα τὴν ἀρχὴν οὐδὲ ῥαδίως φαίνεται ἐπεὶ δ' αὖ δ' ἤδη τὰ οὖρα ψύχηται, καὶ αὐτὰ συνεπιφαίνεται): Καὶ πῶς τὴν ἀρχὴν ἐπινέφελα πεφυκότα, τῆς ὥρας ἐπιμεληγμένης, ἤτοι αὐτόθι μένει, ἢ περὶ τὸ μέσον προϊόντα γίνεται τῆς ἀμίδος, ὥσπερ δή ποτ' ἄλλοτε πρὸς αὐτὸν τὸν πυθμένα χωρεῖ. Αἱ δὲ συστάσεις, ὅσαι μὲν ὑπὸ τὴν σύμμετρον πάχυνσιν αὐτοῖς τοῖς χρώμασι συναναφαίνεται, ὅσαι δ' ὑπὸ τὴν παχεῖαν, κατὰ τὴν κατάστασιν παρυφισταμένων δείκνυνται, ἔτι δὲ σχολαιότερον, ὅσαι τέλεον αὖθις καθέξανται. Ταῦτα τοι μὴ προϊέμενον τοῦ διαχύσθαι τὰ οὖρα, προσήκει σκέπτεσθαι, ἢ μὴ πολλοῦ γε διαπέσοις, ἂν τῆς ἀκριβοῦς ὡς εἴρηται διαγνώσεως. ἀλλ' οὐδὲ διακινηθῆναι δεῖ ταῦτα πρότερον, πρὶν ἢ σὲ ἐπισκέψασθαι, ἵνα μὴ πολλὰ τῶν ἔνδον μετατεθείη. Αἵ τε γὰρ πομφόλυγες διαρρήγνυνταί τε καὶ μετατίθενται, καὶ τὰ παρυφιστάμενα κλονούμενα τῇ κινήσει, φεύγει τὰς σφῶν αὐτῶν τάξεις, ὥσπερ κατὰ πάντων ἢ δὲ τῶν παχέων, αὖθις τῇ συγκινήσει συγχεῖται, οἷον ἡ γενομένη κατάστασις. Καὶ τοιαῦτα μὲν δεῖ περὶ τοῦ χρόνου, καθ' ὃν χρεὼν τὰς ἀκριβεῖς τῶν οὔρων ἐπισκέψεις ποιεῖσθαι, συνιέναι τὸν ἀκριβῆ τῆς τέχνης συνίστορα. Καὶ ταῦτα μὲν ῥηθέντα τάχ' ἂν εἰκότως δόξειεν λελέχθαι. Νυνὶ δὲ πάνυ δέον ἂν εἴη, εἰ κατὰ μέθοδον ἐντεῦθεν ποθὲν ἀρξάμεθα τῶν περὶ διαγνώσεως Οὔρων λόγων.

Κεφ. δ.

Περὶ διαγνώσεως τοῦ κατὰ πάντα συμμέτρου.

Κεφ. δ.

Περὶ διαγνώσεως τοῦ κατὰ πάντα συμμέτρου.

Ἐπεὶ δ' ὥσπερ ἀπό τινος στάθμης, ἢ κανόνος, τοῦ ἂν πᾶσιν συμμέτρου τε καὶ κατὰ φύσιν οὔρου, τὰς τῶν παθῶν εἰδέναι διαγνώσεις πέφυκεν, σχεδὸν ἂν εἴη περὶ τοῦ κατὰ φύσιν οὔρου, πρῶτον εἰπεῖν, καὶ συμμέτρου, εἶθ' οὕτως, καὶ τῶν ἀποκινούντων τοῦ συμμέτρου, καθ' οἷον δύνα- λόγον. Ἀλλ' ἐπειδήπερ οὐδὲ τοῖς πᾶσιν, αἱ αὐταὶ τυγχάνουσι φύσεις, καὶ ἡλικίαι, ἔθη καὶ ταῦτα, γυμνάσια, καὶ τροφαί, οὐδὲ μὴν ὧραι, καὶ χῶραι αἱ αὐταί, καὶ τὰ ἄλλα ὅσα ἀλλοιοῦν τὸ σῶμα πεφύκασιν, ἀποχρῶσαν οἶμαι λαβεῖν τὸν λόγον τῆς μεθόδου συνθήκην εἰ καὶ περὶ τούτων φαίην καθ' ἕκαστα, καὶ ταῦτα μὲν τἂν ῥηθείη μετ' οὐ πολὺ τοῦ πράγματος ἀπαιτήσαντος. Νυνὶ δ' ἂν εἴη προσῆκον τὸν ἐν πᾶσι κατασκευάσαι σύμμετρον ἄνθρωπον εἶθ' οὕτως ἐπιδεῖξαι τὸ τούτου κατὰ φύσιν οὖρον. Τῷ γὰρ εἰδότι ὁποῖον εἴη, τὸ κατὰ φύσιν οὖρον, τοῦ κατὰ πάντα συμμέτρου ἀνθρώπου, ὥσπερ ἐπ' ἐκείνου ἠρτημένου, ἔσται συνιέναι καὶ τὰς ἐκεῖθεν τροπάς· ὥστε καὶ τὰς ἐπὶ τούτοις ῥαδίως ἀποφαίνεσθαι διαγνώσεις, καθὼς ἂν ὁ λόγος προβαίνων ἐξείποι σαφέστατα. Κανὼν μὲν γὰρ καὶ στάθμη τά τε καμπύλα καὶ λοξὰ καὶ διεστραμμένα τῶν ξύλων παριστῶσιν ἁρμοσθέντα· οὖρον δ' ἐν πᾶσι σύμμετρον, τὰς ἀπὸ τούτου κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐκτροπὰς ὑποφαῖνον.

Ἔστω δὲ τοίνυν ἀνὴρ ἀκριβῶς ὑγιαίνων, ἀκμάζων τῇ ἡλικίᾳ, καὶ τῇ πάσῃ κράσει τοῦ σώματος σύμμετρος, χρώμενός τε τροφαῖς εὐχύμοις καὶ συμμέτροις, καὶ γυμνασίοις μήτ' ἐνδέουσι, μήθ' ὑπερβάλλουσιν, ἐν χώρᾳ τε καὶ ὥρᾳ συμμέτρῳ, καὶ ἁπλῶς φάναι, τοῖς πᾶσιν ἔστω ἐν συμμετρίᾳ, ἢ ἄμεμπτός τε καὶ ἄτμητος. Τῷ τοιούτῳ οὐρηθείη ἂν οὖρον, τῇ μὲν χροιᾷ ὑπόπυρρον, ἢ ὑπόξανθον, τῇ δὲ συστάσει, σύμμετρον, καὶ ἀναλογίαν ἔχον τῇ τοῦ πινομένου ποσότητι, οὔτε πομφολύγων ἐπικεχυμένων, οὔθ' οἵων δή τινων ἑτέρων· ὑφιζανέσθω δὲ τῇ ἀμίδι, ἀλλὰ μὴ προσεχέσθω ὑπόστασις λευκή, καὶ λεία, καὶ ὁμαλή, πάντη ἑαυτῆς ὁμοία κω- μήδινων συμπεπιλημμένων ταύταις ἐπιφερομένων θριξὶν καὶ ψήγμασιν ἐοικότων, καί τισι παραπλησίοις εἴδεσι. Τὸ τοιοῦτον οὖρον ἄριστόν τε καὶ κατὰ πάντα σύμμετρόν τε καὶ ὑγιές, καθότι δ' ἂν τούτου ἐνδέῃ, λείποιτ' ἂν τύχῃ τῆς ἀκραιφνοῦς ὑγείας, καὶ

ὑγιείας μὲν πολὺ πάντως ἴσμεν πλάτος, καί τινα εἰκότως τῶν ἀπαγορευθέντων ἐπὶ τῶν οὔρων κανόνι ἐπὶ τοῖς τῶν ἁπλῶς ὑγιαινόντων οὔροις, φανοῦσαν. Ἀλλὰ ὁ λόγος μὲν νῦν οὐ περὶ τῆς κατὰ πλάτος ἐπινοουμένης ὑγιείας διέξεισιν· ἀλλὰ τῆς οἷον ἀμέμπτου καὶ ἀκραιφνοῦς. Αὐτῆς γάρ, οἷον διαζωγραφείσης τῷ λόγῳ, ὁπόσον τῆς ἀρίστης ὑγιείας λείπεται γνοίης ἀσφαλέστατα. ἐπεὶ δὲ δέδεικται ὁποῖον οὖρον ἂν τοῖς εὐκράτως καὶ κατὰ πάντα συμμέτρως ἔχουσιν, προσῆκον ἂν εἴη ὥσπερ ἀπό τινος ἀσφαλοῦς σημείου ἡμᾶς ὡρμημένους τὰ ἐν πᾶσι δηλονότι συμπτώματα ἀφηγεῖσθαι κατὰ βραχύ, ἵν᾿ ὅπως ταῖς ὑποστάσεσι τῶν σημείων ἔχοιεν κρίνειν, καὶ διαγνώσονται ταὐτῶς, ὅσοις ἂν ἄρα τοῦτ᾿ ἔργον γένηται.

Κεφ. ε.

Περὶ διαγνώσεως τῶν κατὰ τὰ γένη καὶ ἡλικίας οὔρων.

Καὶ δὲ περί τε τῶν κατὰ τὰς ἡλικίας καὶ γένη, καὶ φυσικάς τινας δυσκρασίας, καὶ γυμνάσια, καὶ προσέτι ὥρας τε καὶ χώρας καὶ δίαιτας εἰπόντες, εἶθ᾿ οὕτως καὶ περὶ τῶν ἑκάστῳ συμβαινόντων τῶν γενικῶν νοσημάτων ἤρξαμεν· προδιωρισάμενοι τέως, ὅσα τά τε χρώματα, καὶ αἱ συστάσεις, καὶ τὰ παρυφιστάμενα, καὶ τὰ ἐν τούτοις τεθεωρημένα δηλοῖ. Ἀνδρῶν οὖν εὐκράτως ἐχόντων καὶ ἀκμαζόντων οὖρα, ὑπόπυρρά τε καὶ ὑπόξανθά ἐστι, λευκὰ καὶ λεῖα καὶ βραχυτέρας ἔχοντα ὑποστάσεις καὶ πρὸς τὸ ὠμὸν ἰούσας. Μικρῶν παιδίων δὲ ὀλίγον μὲν τῶν ὑποπύρρων καὶ ὑποξάνθων δέουσιν. τῇ δὲ συστάσει μικροῦ δεῖν καὶ τῶν ἀκμαζόντων ὑπερβάλλουσι, ἀθρόας τε τὰς ὑποστάσεις ἔχουσιν. Καὶ ὅσῳ μὲν ταῖς ἡλικίαις οἱ παῖδες προβαίνουσιν τὰ μὲν χρώματα ἐπιτείνεται τῶν οὔρων. τῶν δ᾿ ὑποστάσεων ὑφαιρεῖται τὸ πλῆθος. Εἰς ἀκμὴν ἰόντων, τά τε χρώματα προβαίνει τοῦ ὑποπύρρου πλέον παύονται. Αἵ θ᾿ ὑποστάσεις ἐν τῷ συμμέτρῳ πόσῳ γίγνονται. καθ᾿ ὅσον δ᾿ ἂν παρακμάζουσιν αἱ ἡλικίαι, καὶ ταῦτα τοῦ τοιούτου χρώματος ἐξίστανται πρὸς τὸ λευκότερον προϊόντα καὶ αἱ ὑποστάσεις μείους τε καὶ ἀμαυρότεραι γίγνονται. Καὶ ἡλικιῶν δὲ τοιάδε οὖρα συνεχόντα φάναι φαίνεται. Γυναικῶν δὲ ἀκμαζουσῶν καὶ εὐκράτως ἐχουσῶν οὖρα, ἐνδέοντα πολλοῦ φαίνεται τοῦ ὑποπύρρου, καὶ ὑποξάνθου, πρὸς τὸ λευκὸν ἰόντα, ὑπολεπτότεραι τε αἱ συστάσεις, ἀθροωτέρας γε μὲν ἔχοντα φαίνεται τὰς ὑποστάσεις τῶν ἀνδρῶν.

Τὰς γε

Τάς γε μὴν διαφορὰς αὐτῶν, ἐπὶ ταῖς τῶν ἡλικιῶν διαφοραῖς, μαθεῖν ἔστιν ἀσφαλῶς ἐκ τῶν προσεχῶς ῥηθέντων.

Κεφ. ϛ.

Διάγνωσις τῶν κατὰ τὰς ἁπλᾶς δυσκρασίας οὔρων.

Ἐπὶ τούτοις θέμις εἰπεῖν οἷα διὰ τὰς φυσικάς τε καὶ κατὰ πάθος ἐπισυμβέβηκεν δυσκρασίας, καὶ δὴ δυοῖν μὲν οὔσαιν ταῖν παθητικαῖν ποιοτήταιν, δυοῖν δ' αὐταῖν δραστικαῖν τε καὶ ποιητικαῖν, ὑγρότης μὲν καὶ ξηρότης παθητικαὶ οὖσαι βραχύτι ἂν ἀλλοιώσαιεν μόναι, θερμότης δὲ καὶ ψυχρότης τὰ μάλιστα. Καὶ ὑγρότης μὲν πλεονάσασα ἀμβλύνοιεν ἂν τὴν κατὰ φύσιν χροιὰν τοῦ οὔρου, ἐπιτείνοι δὲ τὸ πλῆθος, παχύνοιτο δ' ἂν καὶ ἡ ἐπιφάνεια τούτου αἵ τ' ἂν ὑποστάσεις πλείους τε καὶ ἀνωμαλώτεραι φανεῖεν ἄν. Ξηρότης δὲ τοῦ τε κατὰ τὸ χρῶμα, καὶ παρυφισμένου ὑφαιρεῖται ποσῶς. Καὶ διαφάνειάν τινα, ὧδε πλείω, ἢ στιλπνότητα κέκτηται. Τὰ χρώματα σύμμετρα πεφυκότα, αἵ τε ὑποστάσεις τούτοις, τἄλλα συμμέτροις, καὶ πως παχύτεραι τῇ συστάσει. Καὶ θερμότης οὖν βραχύ τι μὲν ἐκστᾶσα τοῦ δέοντος ὑπόπυρρά τε καὶ ὑπόξανθα ἔτι ἀποδίδωσι ταῦτα, ἐπιτεθεῖσα δ' ἤδη πυρρὰ καὶ ξανθά, ταῖς δὲ συστάσεσιν ὑπερεκπίπτειν, ὅσον καὶ τὸ σύμμετρον, καὶ τοῖς αὐτοῖς ἐπιλάμπει στιλπνότης μαλλία. Ταῖς δ' ὑποστάσεσι συμμέτρως ἔχοντα φαίνεται τῷ λόγῳ τοῦ ποσοῦ, ἀραιοῦνται δ' ἔτι καὶ τῆς συνήθους λευκότητος. Ψυχρότης δ' αὖ πρός τε τὰ λευκὰ τῶν χρωμάτων ποιεῖν χωρεῖν τὰ οὖρα, καὶ τῆς συμμέτρου λείπεσθαι συστάσεως· προϊούσης δὲ τῆς ψύξεως, ἤτοι ἐπιλεπτύνεται, ἢ καὶ τοὐναντίον πάσχει· λεπτυνόμενά τε, καὶ ἀναθολούμενα τούτοις, ἢ πάνυ ἀμυδραί τε καὶ βραχεῖαι αἱ ὑποστάσεις, ἢ πλείους μέν, ἀνώμαλοι μέντοι ἔνεισι, καὶ ἄνωμοι. Καὶ οὔρων μὲν ἰδέαι τοιαῦταί τινες κατὰ τὰς ἁπλᾶς πεφύκασι δυσκρασίας. Σὺ δ' ἂν ἴσως τῷ λόγῳ ποδηγούμενος ἐντεῦθεν ἐπινοήσαις ῥᾳδίως, καὶ τὰ ἐκ τῶν συνδυαζομένων δυσκρασιῶν γιγνόμενα καὶ φαινόμενα οὖρα.

Κεφ. ζ.

Διάγνωσις τῶν κατὰ τὰ γυμνάσια καὶ ἀνέσεις οὔρων.

Ὁποῖα δ᾽ αὐτοῖς τε πολλὰ, καὶ ὑπὲρ τὴν δύναμιν γυμναζομένοις, γυμνάσια ἐπιφαίνεται· καὶ οἷα δ᾽ αὐτοῖς νωθρόν τε καὶ ἥσυχον μετιοῦσι βίον, νῦν ἂν εἴη λέξαι καιρός. Καὶ δὴ τοῖς μὲν πλέον κεκμηκόσιν ἤδη καὶ γυμναζομένοις, τὰ δὲ οὖρα ὑπόξανθα, καὶ πρὸς τὸ ξανθὸν αὐτὸ χωροῦντα, φαίνεται χρῶμα. Αἱ δ᾽ ὑποστάσεις πάνυ τοι τούτοις βραχεῖαι τε καὶ λεπταί, ἀλλ᾽ οἷον τό δ᾽ ἂν ἴσως καὶ κατὰ χροιὰν αὐταῖς. Ἐνίοτε γε μὴν καὶ τινὰ συντήγματα ἐπινήχεται τούτοις πάνυ τι κεκμηκότος, εἴ που καὶ τι ἕτερον εἴη σύνεργον αἴτιον. Ἀλλὰ τοῦτο μὲν ὀρθῶν, τάχ᾽ ἂν ἡ ἀρχή τις εἴη νοσήματος. Ἡμῖν δ᾽ οὖν ἔτι πρόσθεσις περὶ τούτων οὔρων φάναι. Τοῖς γε μὴν ἀργὸν καὶ ἡσύχιον βίον ἔχουσιν, τά τε οὖρα πρὸς τὸ λευκὸν χωροίη ἄν, αἵ θ᾽ ὑποστάσεις πλείους ἂν ὀφθεῖεν, καὶ παχύτεραι, καὶ τραχύτεραι. Ταῦτα μὲν ἀρχόντων ὧδ᾽ ἂν ἴσως ἔχοι.

Κεφ. η.

Διάγνωσις τῶν κατὰ τὰς ὥρας καὶ χώρας οὔρων.

Περὶ δὲ τῶν κατὰ τὰς ὥρας τε καὶ χώρας καὶ μεταβολὰς ἐπιφαινομένων τοῖς ἀνθρώποις οὔρων ὧδ᾽ ἂν εἴη φάναι προσῆκον. Ἔαρος τοίνυν ὅσον ἂν ὁ καιρὸς ῥοίη ἐπὶ τὸ θερμότερον, τά τε χρώματα τῶν οὔρων τῶν ὑπώχρων καὶ ὠχρῶν ἀφιστάμενα πρὸς τὸ ὑπόπυρρον χωρεῖ, καὶ ὑπόξανθον. Καὶ τῆς ἀμετρίας φευγούσης τῶν συστάσεων, ἀποκαθίσταται πρὸς τὸ κατὰ φύσιν ἡ σύμμετρος. αἵ θ᾽ ὑποστάσεις τοῦ ἀπὸ τοῦ παχεῖαι εἶναι, λεπτύνεσθαί τε ἄρχονται, καὶ πρὸς τὸ σύμμετρον χωροῦσι. τά γε μὴν ποσὰ τῶν σχημάτων καὶ πλείω τῶν ἐξ ἀναλογίας τυγχάνουσι: Ἀλλ᾽ ἐπειδὰν θέρους μὲν ἤδη ἄρχηται παρῳχηκότος τοῦ ψυχροτέρου, ὑπόπυρρα, καὶ ὑπόξανθα τὰ οὖρα φαίνεται, καὶ σύμμετρα ταῖς συστάσεσιν, αἱ δὲ ὑποστάσεις τούτων ποτὲ καὶ λεπτότεραι ἄρχονται φαίνεσθαι τοῦ συμμέτρου, ἔτι λευκαὶ καὶ λεῖαι καὶ ὁμαλαὶ τυγχάνουσαι. προϊόντος δὲ τοῦ θέρους καὶ πρὸς τὸ ἀκμαῖον ἤδη χωρήσαντος, μείω μὲν τῶν ἐξ ἀναλογίας χρόνῳ τὰ ποσὰ φαίνεται. αἱ δ᾽ ὑποστάσεις τούτοις ἤδη μὲν ἀφαιροῦνται, καὶ τὴν κατὰ φύσιν λεπτότητα πρὸς τὸ ὑπωχρὸν, οἷον χωροῦσαι, μείους τε πολλῷ καὶ λεπτότεραι φαίνονται. Λεπτότης δὲ μετά τινος ἐπιλάμπει τοῖς οὔροις [illegible], ἤδη καὶ αὐτὴ πρὸς τὸ ξανθόν τε

ῥέπουσα

ῥέπουσα καὶ πρὸς τὸ πυῤῥόν. Ὁπόταν μέντοι τὸ φθινόπωρον ἥκῃ, τὰ μὲν χρώματα ἤδη ἀντιστρέφεται πρὸς τὸ σύμμετρον, ἡ δὲ στιλπνότης ἔτι καὶ πρὸς τούτοις [illegible] λεπτότης μένει· αἵ θ᾽ ὑποστάσεις ἀμαυραὶ μὲν ἔτι καὶ βραχεῖαι, λευκαὶ δὲ καὶ λεῖαι καὶ ὁμαλαί. Προϊόντος δὲ τοῦ φθινοπώρου πρὸς τὸ κατὰ πάντα σύμμετρον χωρεῖ τὰ οὖρα. Περὶ δὲ χειμερινὰς τροπὰς ἤδη τοῦ ἔτους γεγονότος [illegible] μὲν τὸν τρόπον ἀναλόγως ἀποδίδοται τὰ οὖρα. Τὰ δ᾽ ἔτι χρώματα τούτου φαίνεται πρὸς τὸ [illegible] λευκὸν τοῦ χρώματος αἵ θ᾽ ὑποστάσεις πλείους τε καὶ ἔτι σύμμετροι κατὰ τὰ ἄλλα. Προηκόντος δὲ τοῦ χειμῶνος αἱ μὲν ὑποστάσεις [illegible] γίνονται, [illegible] λευκὰ τὰ χρώματα ἤδη· τὰ δὲ κατὰ [illegible] πλείω τῶν ἐξαναστάσεων [illegible] τούτου, πλείω ἅμα τε καὶ ἔνωμα. Ἐπειδὰν δὲ ἤδη [illegible] ἐαρινὴ γένηται, [illegible] ταῦτα, καὶ χωρεῖν ἐπείγεται, πρὸς τὸ σύμμετρον [illegible] ἐπιγινομένων οὔρων [illegible] ἐλθοῦσαν. Τὰ δὲ κατὰ τὰς χώρας ἀναλόγως ἔχει ταῖς ὥραις. Καὶ δεῖ τὸν συνετὸν ἀντιπαραβάλλοντα ἐκ τῶν τὰς ὥρας ῥηθέντων στοχάζεσθαι, καὶ τὰ ἐπὶ τοῖς διαφόροις τῶν τόπων ταῖς ὥραις ἀναλογοῦντα. Τροφαὶ καὶ δίαιται θερμόταται [illegible], καὶ ξηρότεραι, καὶ ὑγρότεραι τοιαῦτα ἂν οὖρα τῷ χρόνῳ ποιήσαιεν, οἷαι καὶ αἱ οἰκεῖαι δυσκρασίαι. Εὐπέπτων δὲ καὶ εὐχύμων τροφῶν προσφοραί, τοιαῦτ᾽ ἐὰν οὖρα ποιήσαιεν, οἷα καὶ ἐν εὐκράτῳ τῇ κράσει γίνεται, δυσπέπτων δὲ καὶ κακοχύμων, ἀνώμαλα μὲν τῷ χρώματι, καὶ λεπτὰ, καὶ παρυφιστάμενα εἴδεσιν ἀνώμαλα παντοίως. Καὶ μείω μὲν καὶ διαφορὰ τοῖς [illegible], [illegible] ἐπὶ τοῖς δυσπέπτοις σιτίοις πλείω δὲ καὶ [illegible] ὅλα τὰ ἐπὶ τοῖς [illegible] σιτίοις. Καὶ περὶ μὲν τῶν κατὰ τὰς ἡλικίας τε καὶ νόσων δυσκρασίας τε καὶ χώρας, καὶ [illegible] οὔρων, ἱκανῶς ἂν ἔχοις [illegible] διαγινώσκειν.

Κεφ. θ.

Διάγνωσις τῶν κατὰ τὰς ἀγρυπνίας καὶ ὕπνους οὔρων.

Ὑπνηλῶν γε μὲν οὖρα κατὰ πάθος, καὶ μὴ κατὰ φύσιν, τῷ μὲν χρώματι πρὸς τὸ λευκὸν ἀπέστραπται, τῇ δὲ συστάσει [illegible] τὸ [illegible] καὶ παχύ, [illegible] παρυφιστάμενα [illegible] πλείω [illegible] ἔνωμα. Τῶν δὲ φύσει ὑπνηλῶν ἧττον μὲν λευκὰ ἤδη τὸ ὠχρὰ τῇ συστάσει χωρεῖ πρὸς τὸ σύμμετρον παρυφιστάμενα δὲ τούτου πλείω τε καὶ ἀκριβῶς πεπεμμένα. Ἀγρυπνούντων δ᾽ οὖρα φύσει γε [illegible] τῶν ἐχόντων, βραχύ τι ἂν [illegible] ἀλλάξαιεν. [illegible] δὲ [illegible] ταῖς μὲν ἀρχαῖς βραχύ τι ἂν διαλλάξαιεν τῇ τε συστάσει καὶ τοῖς χρώμασι, καὶ τοῖς παρυφισταμένοις. προϊόντος

προϊόντος δὲ τοῦ χρόνου διασκεδασθείη τε, καὶ ἔτι ἐκλείψη τὰ παρυφιστάμενα. Λεπτύνεται δ' αὖ κατὰ βραχὺ τὰ χύματα προσχωροῦντα πρὸς τὸ λεπτότερον. τὰ δὲ χρώματα ἢ πρὸς τὸ λευκὸν καὶ ὑελῶδες τοῦτο χωρήσει, ἢ πρὸς τὸ πυρρόν τε καὶ ξανθίζον, ἐλαιῶδες τέ καὶ μέλαν, κατὰ τὴν τῆς αἰτίας ἰδιότητα, καὶ πλείω μὲν ἐκκεκριμένων καὶ ἀπεπτησάντων, λεπτὰ καὶ λευκὰ, καί ποτε ἀνυπόστατα χρονισάντων δὲ ταῖς ἀπεψίαις ἀνώμαλα ταῖς συστάσεσιν, καὶ τοῖς παρυφισταμένοις.

Κεφ. — Ι.

Διάγνωσις τῶν κατὰ τὰς ἀδηφαγίας καὶ λιμοὺς οὔρων.

Ἀσιτησάντων δ' οὖρα πυρρὰ ἤδη καὶ ξανθὰ καὶ λεπτὰ φαίνεται, καὶ τὰς ὑποστάσεις ἔχοντα βραχυτέρας. Λιμῷ δὲ πιεζομένων λεπτὰ καὶ λευκὰ καὶ ἀνυπόστατα μετά τινος. Ἀλλ' ὁ μὲν περὶ τούτων λόγος ὧδε κείσθω. ἑξῆς δ' ἂν εἴη φάναι θέμις περὶ τε πόσου τοῦ χύματος παθήματα, καὶ τοῦ χρώματος, ἔτι τε συστάσεως καὶ παρυφισταμένου, καὶ τῶν ἐπινηχομένων τῇ ἐπιφανείᾳ ἵνα καὶ ἑκάστης ῥηθέντων, καὶ τίσι μάλιστα τῶν διαθέσεων αὐτῶν ἕκαστον λείπεται. τὸ διαγινώσκειν ἀσφαλῶς ἐπιγίνεται, τοῖς περὶ τὰ τοιαῦτα σπουδαίοις.

Κεφ. Ια.

Περὶ Διαγνώσεως τῶν κατὰ τὴν ὀλιγότητα καὶ πλῆθος τοῦ χύματος.

Καὶ πρῶτον μὲν ὧδε ῥητέον περὶ πλήθους καὶ ὀλιγότητος τοῦ χύματος εἶθ' οὕτως, καὶ περὶ τῶν ἐν τούτῳ συμβαινουσῶν ἀλλοιώσεων. Ἐπειδὴ γὰρ τοῖς μὲν ἀκριβῶς ὑγιαίνουσιν, ἀναλογίαν τινὰ πρὸς τὰ πινόμενα σώζει τὰ διερχόμενα, ἀλλοίωσιν δέ τινα γεγονέναι τῶν ἐντὸς σημαίνει, ἢ μείω, ἢ ἐλάττω, κἂν θ' ὑπερβάλλοιεν πολλῷ τὴν ἀναλογίαν, κἄν τε πολλῷ ταῦτα ἐνδέοιεν. Χρεὼν ἂν εἴη περὶ τοῦ κατὰ τὴν ποσότητα τοῦ χύματος φάναι γένους. Καὶ δὴ πλείω μὲν ὀφθῆναι οὖρα τοῖς μὲν ὑγιαίνουσιν, ἢ πλείω προσενηνέχθαι πόσιν δηλοῖ, καὶ μάλιστα ἢν ἐξίτηλος ὁ οἶνος ᾖ, καὶ τὰ χρώματα πρὸς τὸ λευκότερον ὧδε μεθίσταται, καὶ αἱ συστάσεις πρὸς τὸ λεπτότερον, τὰ δὲ παρυφιστάμενα λεπτά τε καὶ ἀνώμαλα, καὶ οὐ λεῖα. ~ Ἀλλὰ δὴ καὶ ἐγκειμένων ὡμοτέρων χυμῶν, καὶ πεφθέντων, ἐπιρρωσθείσης πως τῆς φύσεως πλείω τε καὶ ὑπόλεπτα ἐκκρίνεται οὖρα, ἧττον δὲ τῶν ῥυέντων λευκά, καὶ ἀμένων

δὲ τούτοις

δὲ τέλεις τὰ παρυφιστάμενα. Πλείω γε φαίνοιτ' ἂν τὰ οὖρα κἀπὶ τῶν μείω διαχωροῦντα διὰ τῆς κοι-
λίας φυσικὴν διάθεσιν, ταῦτα δὲ τοῖς μὲν χρώμασι σύμμετρα, πλείω δὲ καὶ παχυτέραν τὴν ὑπόστασιν
κέκτηται. χωρήσαντε δ' ἂν καὶ διὰ φάρμακα διουρητικὰ τὰ οὖρα πλείω, ἃ τὸ μὲν κατὰ φύσιν χρῶμα
μᾶλλον τῷ προτέρῳ τῷ ῥήσει, τὴν δὲ ὑπόστασιν λεπτοτέραν ἀποφανεῖται, στιλβουσῶν δή τις ἐπιλάμπει τῷ
χρώματι. καὶ ταῦτα μὲν ὡς ἐπὶ τῶν μετρίως ὑγιαινόντων εἴρηται· ἐπὶ δὲ τῶν νοσούντων οὕτως ἔχει. Λεῖαν
οὖρα πρόεισιν ἐπὶ τῷ διαφανεῖ μέν, ἀπὸ τοῦ συμβαίνοντος πάθους ὀνομαζομένου διαβήτης δὲ καὶ διαρροίας οὖρα
ἀπὸ τῆς ταχείας κινήσεως, λευκὰ πέφυκεν καὶ λεπτὰ, καὶ ἀνυπόστατα. Κἀκεῖνο δὲ εἰδέναι χρεών,
ὡς ἐνίοτε ἐπὶ ταῖς κρίσεσι τῶν νοσημάτων οὔρων πλῆθος ἐκκρίνεται λευκότερον καὶ λεπτότερον, καὶ με-
τρίας ἐχόντων τὰς ὑποστάσεις, μάλιστα πάντων τε καὶ θρομβοειδῶν καὶ παχυτέρων οὔρων ἡγησαμένων. Τοῖς δ'
ἄλλοις ὑδρωπικοῖς πάθη, πλείω μὲν τοῦ συμμέτρου καὶ ὑδατώδη, ὠμὰς δὲ καὶ ἀνωμάλους ἔχοντα τὰς ὑπο-
στάσεις. Τὰ γε μὲν πυρρὰ καὶ ὑπέρυθρα παραπλησίως χρώμασι καταβαφέντα καὶ πλείω ἰόντα μέμφεσθαι
δεῖ, καὶ μᾶλλον, εἰ μὴ σὺν ἀγαθοῖς παρυφισταμένοις πρόεισιν. ἂν δέ γε οἰνωπὰ καὶ κυανᾶ τὰ χρώματα
εἴη καὶ πολλὰ, καὶ μάλιστα [illegible] τινὸς προηγησαμένης, ἔτι χείρω, καὶ νέκρωσιν τινὰ, καὶ σύν-
ταξιν ὑποφαίνει τῆς καθόλου διαθέσεως τοῦ σώματος. Καὶ περὶ μὲν τῶν ὑπερβαλλόντων τῷ πλήθει
οὔρων, τοσαῦτα ἐστὶν εἰπεῖν· ἐλάττω δὲ κατ' ἀναλογίαν συμμέτρων ἰόντα διὰ τἀναντία τούτων γενήσονται.
Ἥ τε γὰρ ξηροτέρα δίαιτα, ὀλίγα αὐτὰ οὖρα ποιήσειε, καὶ ὑπόξανθα, καὶ ἐλάττους ἔχοντα τὰς ὑπο-
στάσεις, καὶ [illegible] τῶν συμμέτρων παχυτέρας. Τά τε ἐμπλαστικὰ καὶ ἐμφρακτικὰ τῶν προσαρμό-
ζοντα [illegible] φαρμάκων, ὀλίγα μὲν καὶ ταῦτα παρασκευάζει τὰ οὖρα· λεπτὰς δὲ καὶ ὀλίγας τὰς
ὑποστάσεις. Ἃ δὴ διὰ πλείονα τοῦ συμμέτρου κένωσιν τῆς γαστρὸς, ἥττω τῆς ἀναλογίας φαίνεται, πρὸς
τὸ λευκότερον μὲν ἂν χωροίη, πάνυ δὲ ἀσαφεῖς ἕξει τὰς ὑποστάσεις, καὶ λεπτὰς, καὶ οὐ λείας.
Ἂν μέντοι εἴη διὰ πάχος, ἢ πλῆθος χυμῶν ἀπέπτων, ὀλίγα λεπτὰ μὲν ἂν ὀφθείη καὶ λευκὰ,
καὶ ἀνυπόστατα, ἔτι δ' ἔστι καὶ παχέα, ἀμφοτέρας ἔχοντα τὰς ὑποστάσεις καὶ οὐ λείας. Ὀλίγα δ' ἂν κα-
ὑποχωρήσει, καὶ διὰ πυρετὸν τὸν σφοδρότατα, καὶ τὰ μὲν χρώματα δ' αὐτὰ σημαίνει σοι τὴν τοῦ πυ-
ρετοῦ ποσότητα. Ἃ δ' ὀλίγα ἰόντα φαίνεται διά τινα τῶν οὐρητικῶν ἀγγείων διάθεσιν, αἱ ἀτονικαὶ
ὀδύναι φαῖεν ἂν καὶ τὰ ἐν τοῖς οὔροις παρυφιστάμενα, περὶ ὧν ἂν εἴποιμεν τοῦ λόγου προϊόντος·
νῦν δὲ περὶ ἑκάστου χρώματος τὰ ἐνδεχόμενα λέξομεν. Τῆς τοίνυν περὶ τὰ χρώματα διαγνώσεως
πολυειδοῦς τινος οὔσης, [illegible] τε μὴ πάντων τῶν φαινομένων χρωμάτων ὀνόμασί τισι διωρισμένων, ἀλλὰ
τῶν μὲν γενικωτέρων διωρισμένων· τῶν δὲ μέσων τε καὶ παραμέσων, καὶ τῶν κατ' εἶδος ὁποίων
δή τινων ἀμοιρησάντων ὀνομάτων οἰκείων, ἔργον μὲν ἂν εἴη καθέκαστον ἐξαγγέλλειν, καὶ

νῦν

κὼ δυσπερίληπτον. Τῷ δὲ γενῶ μὲν τετυχότι ὀξέως, φύσεως δὲ ἐπιμελῶς, πεῖραν δὲ τινος βραχ[illegible] τάτης, ῥαδίως ἂν συμπερανθείη πάσι τῶν ῥηθέντων καὶ τὰ μὴ λεχθέντα.

Κεφ. ιβ.
Περὶ Διαγνώσεως τῶν λευκῶν Οὔρων.

Καὶ δὴ τὰ λευκὰ τῶν χρωμάτων (ἀρκτέον γὰρ ἐκ τοῦ λευκοῦ, ἐπειδήπερ τῶν ἁπλῶν τοῦτο πέφυκεν, οὐδὲ μὲν τοῦτο δείκνυσιν ὡς οὐ καταδέξαιτό τινα κατὰ βαφὴν παρ' οὐχ ὅτινος χρώματος) ἐκ τρίτου εἰς πλείονα εἴδη τὴν κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον διαφορὰν εἰσδεξάμενα. ἀλλὰ ὁποῖα μὲν καὶ ποσαχῶς ἐν τοῖς περὶ διαφορᾶς οὔρων λόγοις ἀκριβέστερον εἴρηται, ὥστ' οὐδὲ μηνύειν αὖθις δεῖν τὸν περὶ τούτων λόγον, ἱκανῶς ἐκεῖ ῥηθέντα· ἐπιθῶμεν δ' ἤδη τῷ λόγῳ ὅσα ταῦτα διαφαινόμενα σημαίνει. Ἐπεὶ τοίνυν δέδεικται ὁποῖον οὖρον ἐν πᾶσι σύμμετρον κατὰ χρῶμα καὶ σύστασιν, καὶ προσέτι περιγεγραμμένον, ὥσπερ ἀπό τινος ἀκριβοῦς σημείου τὸν [illegible] [illegible] τὰ [illegible] [illegible] τῆς ἐπικρατείας τῶν [illegible] νοούμενα. Καὶ τοίνυν μὲν οὖν ἐν [illegible] τοῖς ἐν τῷ σώματι χυμῶν, τὸ καθῆκον ἐπικρατεῖ χρῶμα τοῖς χύμασιν, [illegible] ὠχρότης τε καὶ λευκότης καὶ ὅσα τοιαῦτα παράμικτα χρώματα. Πλὴν ἀλλὰ διορισάμενοι τῷ λόγῳ τὰς λευκότητας, ἐπιθήσομεν ἑκάστῳ τὰ δέοντα. Τὰ τοίνυν λευκὰ τῶν οὔρων τοῖς ὑγιαίνουσιν, ἅπαξ μὲν ὀφθέντα, πολυποσίαν οἴνου σημαίνει, καὶ μάλιστα εἰ εἴη ὁ οἶνος ἐξίτηλος· ἐπιμαρτυρήσει δὲ καὶ τὸ πλῆθος τὴν διάγνωσιν. Σύμμετρα δ' εἰ τὰ ποσὰ τυγχάνει, καὶ ὑπόστασιν ἀναλογοῦσαν ἔχει, ψυχρὰν τινὰ δυσκρασίαν σημαίνει τοῦ ἥπατος. Εἰ δ' ἀμυδρὰ τις εἴη πάνυ καὶ ἀσαφὴς ἡ ὑπόστασις, αὐτὰ δὲ πάνυ λευκά, ἢ τὸ κατὰ φύσιν, ἢ τὸ ἐκ νόσου γῆρας ἀποφανεῖεν ἄν. Λευκὰ δ' ὡσαύτως καὶ ἐπὶ τῶν ὑδροπιόντων πρόεισιν, ἀνωμάλους μὲν τι καὶ ὠμὰς τὰς ὑποστάσεις ἔχοντα φαίνεται. Οὐχ ἧττον γε μὴν κἀπὶ τῶν ἐμφραξάντων [illegible] τῶν ἐντὸς σπλάγχνων τε καὶ νεφρῶν προαχθείη ἂν οὖρα λευκά τε καὶ λεπτά. ἀλλ' ἐπὶ [illegible] ὀξέως λευκὰ [illegible] τοιαῦτα φαίνεται [illegible]. Σύμμετρα δὲ ταῦτα ἢ καὶ πλείω [illegible], διὰ μὲν [illegible] καὶ [illegible] μένον ἔχοντα, [illegible] καὶ [illegible] τὸν [illegible] ἀμυδρὰ αὐτῆς [illegible], ἐνίοτε δὲ καὶ ἐπι[illegible] πάντοτε [illegible], οὐχ ἧττον [illegible] καὶ [illegible] ῥοπὴν λαβὼν ὁ χρωννὺς χυμὸς σφοδροτέραν. ταῦτα δὴ λευκὰ [illegible] παρασκευάσει γεγονέναι, καὶ [illegible] μαθεῖν ἐστιν ἀπὸ τῶν διαχωρημάτων. Ὥσπερ καὶ τοὐναντίον, ἐνίοτε συμβαίνειν εἴωθεν,

κατακεχρωσμένων

καταπεχρωσμένων μὲν τῶν οὔρων φαινομένων ἔτι λευκῶν δὲ τῶν διαχωρημάτων. Πολλάκις γὰρ εἰώθεσαν οἱ χυμοὶ τοιαύτας ἀφορμὰς τινὸς δραξάμενοι ὅσπερ λαμβάνειν. Καὶ εἰ συνελεῖν προσήκει τὸν πάντα λόγον οὕτω πως ἐπιφάναι τὰ λευκὰ τῶν οὔρων, ἤτοι διὰ πάχος τε καὶ πλῆθος ὠμῶν χυμῶν γίνεται, ἢ δι' ἔμφραξίν τινα τῶν πόρων, ἢ διὰ πολυποσίαν, ἢ δι' ἀπεψίαν, καὶ προσέτι τοῦ χρωννῦντος ἀποχώρησιν χυμοῦ, καὶ διὰ φυσικὴν καὶ κατὰ πάθος ἐπὶ τούτοις ψυχρότητα· καὶ ταῦτα μὲν [illegible] λευκὰ καὶ καθ' ἃ λεπτότης συνίσταται τῆς συστάσεως. Τὰ δέ γε κατὰ πάχος ὄντα λευκὰ ἧττον μὲν ἐκείνων, πολὺν δ' ἐμφαίνει τὸν ὠμὸν χυμὸν ἀκμάζειν τοῖς σώμασιν. Καὶ τὰ μὲν λευκὰ τῶν χρωμάτων τοσαῦτα ἂν σημαίνειν καθ' ὅσον δὲ ἐπιδέχεται, καὶ χεῖρω νομιζόμενα ἢ τὰ τῆς ἀκραίας λόγῳ.

Κεφ. ιγ.

Περὶ διαγνώσεως ὑπώχρων καὶ ὤχρων οὔρων.

Τὰ δ' ὑπόχρά τε καὶ ὠχρὰ ἐπιφαινόμενα, ἧττον μὲν τῶν ἐκλεύκων τὴν ἀπεψίαν δείκνυσιν ἐπικρατοῦσαν διὰ τὸ τὴν φύσιν φαίνονται τοῖς πέψεσιν. Ἄπεπτα γε μὴν καὶ ταῦτα φαίνεται, παραβαλλόμενα τοῖς συμμέτροις, καὶ τοσοῦτο λείπεται ταῦτα τῶν ὑγιεινῶν, ὅσα πλεονεκτοῦσι τῶν λευκῶν. Τὰ μὲν γὰρ λευκά, πρὸς τὸ λείπεσθαι συμμέτρου συστάσεως, καὶ χρώματος ἀκριβοῦς προσήκοντος, τὰ δ' αὖ βραχύ τι καὶ τοῦ χρώματος καὶ συστάσεως λείπεται. ὥστε ταῦτα μὲν ἐκ λευκῶν φαινόμενα, τὴν πέψιν ἀναζωπυρεῖσθαι σημαίνει. ἀπὸ δὲ συμμέτρου μᾶλλον πρὸς τὸ μεῖον χωροῦν τὴν ἔμψυξιν ἁρμόττει. Καὶ τοιούτοις μὲν οὖσιν οὐχὶ ῥᾳδίως ἀντὶ ὑπόστασιν παρυφισταμένην πεπηγμένον: τοῦ γὰρ ἀπέπτου χύματος, ἄπεπτα καὶ τὰ παρυφιστάμενα· καὶ τὰ μὲν ὠχρὰ τῶν οὔρων οὕτω πως ἐνδεῖ τοῦ κατὰ φύσιν χρώματος καὶ συμμέτρου· καταβαφέντος γε μὴν πλέον καὶ σύστασιν ἐκληρωθέντα συμμέτρον τὰ ὑπόπυρρα ποιεῖ καὶ ὑπόξανθα, τελείας μὲν οὔτε πέψεως χρώματα, ἀσφάλειαν δ' ὑγιεινὴν ὑποφαίνοντα δηλοῦν πάντη τῷ σώματι· οὐδὲν δ' αὖ διαγνῶναι ἴσως εἰ διεξιέναι λόγον καὶ ἀκριβέστερα συνιέναι, πέφυκε τοῖς συμμέτροις καὶ κατὰ φύσιν οὖσιν· καὶ ἡ αἰτία προδήλως εἴρηται. Τοῖς μὲν γὰρ αἱματικωτέροις κατὰ φύσιν μᾶλλον τὰ ὑπόπυρρα πέφυκε, Τοῖς δ' αὖ γε ξανθοχόλοις κατὰ φύσιν τὰ ὑπόξανθα· ὥσπερ αὖ τοῖς γε μελαγχολικοῖς καὶ

φλεγματώδεσιν,

φλεγματώδεσιν, δόξειαν ἂν πρὸς τὸ λευκὸν ῥέπειν τὰ σύμμετρα. Καὶ περὶ μὲν τῶν συμμέτρων χρωμάτων, οὗ καὶ καιρὸς νῦν ἐπεξιέναι εἴρηται πρότερον ἐν τῷ περὶ τῶν οὔρων κανόνι· οὐ μόνον περὶ συμμέτρου καὶ κατὰ φύσιν χρώματος, ἀλλὰ καὶ συστάσεως καὶ παρυφισταμένου συμμέτρου. Ὡς ἄρα λείπεται περὶ τῶν κατὰ τοῦτο φάναι χρωμάτων, ἤδη μὲν ἀφεσταμένων τοῦ συμμέτρου, ὁποίαν δήτινα τὴν διάθεσιν ὑπαγορευόντων.

Κεφ. ιδ.

Περὶ διαγνώσεως πυῤῥῶν τε καὶ ξανθῶν οὔρων.

Πυῤῥὰ δ' οὖν καὶ ξανθὰ ἐπὶ τῆς ὑγείας ἐπιφαίνεται οὖρα, ἐπίτασίν τινα τῆς παρὰ φύσιν θερμότητος ὑποφαίνοντα. Ὑπόλευκα γε μὲν ἢ καὶ τοῦ συμμέτρου παχύτερα καὶ ἀνυπόστατα, ἢ βραχύ τι πάνυ καὶ ἀσαφὲς τὸ παρυφιστάμενον, πάνυ τι ἔχοντα φαίνεται. Καὶ τὰ μὲν πυῤῥὰ δι' ὕλης ποσότητα, ἐπίτασιν μᾶλλον σημαίνει θερμότητα, ἢ ταύτης τῆς θερμότητος δηλονότι ἐπίτασιν δι' ὕλης ἔνδειαν. Μᾶλλον δ' αὖ διὰ τοὐναντίον γίγνεται τὰ ξανθά· τὰ μὲν γὰρ πυῤῥὰ διὰ πλείω προσφοράν τε, καὶ φαρμάκων δριμέων, καὶ ζέσιν αἵματος ἐκ θυμοῦ καὶ δυσκρασίαν τινὰ ἐπὶ τὸ θερμότερον τῶν σπλάγχνων συμβαίη ἄν, καὶ διὰ παραπλησίαν τινὰ διάθεσιν ἑτέραν. Ἐκεῖνα δ' αὖ διὰ λύπην καὶ φροντίδα, καὶ πρὸς τούτοις [illegible], καὶ κόπον, καὶ ἄλλα ὅσα ξανθὴν ἐπισωρεύει λεπτὴν χολὴν τῷ σώματι, ἔνδειαν δέ τινα παρασκευάζει τῆς φυσικῆς ὑγρότητος.

Κεφ. ιε.

Περὶ διαγνώσεως ὑπερύθρων καὶ ἐρυθρῶν οὔρων.

Ὑπέρυθρον ἐπὶ τέλους οὖρον ἐπιφαίνεται παχὺ μὲν ὡς ἐπὶ τὸ πλεῖστον, ἐστὶ δ' ὅτε καὶ λεπτὸν φαινόμενον. Ἀλλὰ τὸ μὲν ἐρυθρὸν μᾶλλον κατὰ βαφὴν ὑπαγορεύει χολῆς, καὶ οἶδεν ὅτε λόγος καὶ ἡ πεῖρα δείκνυσιν εἶδος χολῆς, καὶ ῥηθείη ἂν ἴσως ἐκ συνεχείας τέτταρα. Τὸ δ' αὖ ἐρυθρὸν διὰ πλεονασμὸν αἵματος, καὶ τὸ μὲν μᾶλλον σφοδροτέροις τισὶν ἀναφαίνεται πυρετοῖς, τὸ δ' αὖ

διὰ τὴν τοῦ

διὰ τὴν τοῦ χυμοῦ συγγένειαν ἐπὶ τὸ λευκότερον (εἰ καὶ τις προσαποδοθεῖσα αἰτία) κἀπὶ τοῦτο σφοδρότερον ἀνάγει τὸν πυῤῥόν. Ὁ δὲ ἐρυθρὸς ὁ λόγος μεμάθηκεν, ὑπὸ τῶν αὐτῶν μὲν αἰτιῶν τῷ ὑπερύθρῳ χυμῷ συνίσταται, τοσοῦτο δὲ αὐτὸς ἐπιπαθέντας ἐδέξατο, ὅσῳ καὶ τὸ χρῶμα γέγονεν ἐπιδηλότερον. Καθαίνει δὲ μαρμυρῶδες ὠχρῶν, ὡς φλεβὸς πολὺ ῥαγείσης, τῶν περὶ τὰ οὐρητικὰ ἀγγεῖα, ἢ καὶ προσωτέρω, καὶ τοῦ αἵματος τοῖς οὔροις ἀνακραθέντος, τοιοῦτον δὲ τὸ αἷμα φαίνεσθαι. Προσεπιδιαγνωσθείη δὲ τῇ τοπικῇ ὀδύνῃ, καὶ τῇ προηγησαμένῃ αἰτίᾳ πυοποιηθείη [illegible] προϊόντος τοῦ χρόνου τὸ τραῦμα, καὶ τῷ οὔρῳ συνδιεκβάλλεται πύον, ἡ διάγνωσις ἀποδειχθείη ἂν καὶ μηνυθείη. Ὥσπερ δ' αὖ κατὰ τῶν διυλιζόντων τὸν ὀῤῥὸν ἀγγείων· ὅτι αἵτινα τὴν αἰτίαν ὑπὲρ τὸ δέον πεπονθότα ὁρῶσιν, ἀλλ' ὀξυρεγέντων συνδιακρίνεσθαι καὶ αἷμα μιγὰν τοῖς οὔροις. Ἀλλ' [illegible] τις τῶν νεφρῶν διαγινώσκοιτο χαλεπωτέρας. Ἐπειδ' ἂν τοιούτων οὔρων πλείων ἔκκρισις, καὶ πλείων ἀτονία γένοιτ' ἂν τῷ ἀνθρώπῳ, καὶ μᾶλλον εἰ μὴ τὰ ἐπὶ φλεβὸς ῥαγείσης φαίνοιτο σημεῖα. Καὶ τὸ μὲν ὑπέρυθρον τοῦ χρώματος, μέτριόν τι τὸ κακὸν ὑπαγορεύει, κἂν ἐφ' [illegible] γεγονότα χυμοῦ, εἴπερ ὁ μὲν οἰκεῖος μᾶλλον πέφυκε τῷ ἀνθρώπῳ· ὁ δ' ἂν οὐ πάνυ [illegible] ἀπὸ τῆς τῶν χρωμάτων [illegible] ἡμῶν [illegible].

Κεφ. 15.
Περὶ Διαγνώσεως οἰνωπῶν οὔρων.

Τοσοῦτον γε μὴν ἐπὶ τὸ χεῖρον τὸ οἰνωπὸν τοῦ χρώματος πρόεισιν, ὅσῳ λείπεται τοῦ ἀκριβοῦς τὸ ὑπέρυθρον. Ἤδη γὰρ ὀπτᾶσθαι τοῦτο σημαίνει τὸν ἀγαθὸν χυμόν, καὶ μεθίστασθαι ἤτοι πρὸς ξανθὴν ἢ μέλαιναν χολήν, αἳ δὴ καὶ χείρω τῶν ὑπαρχόντων πάθη ταλάξουσιν. Κἂν μὲν οὖν ἐμφαίνοιτό τι τῶν ἀγαθῶν ὑποστάσεων, μέτριον ἂν οὕτω εἴη τὸ δεινόν, καὶ τις ἐλπὶς τὴν φύσιν ἴσως ἐπικρατήσειν· εἰ δ' ἤτοι δεινὰ ὅλως τὰ παρυφιστάμενα, ἢ τὴν ἀρχὴν μηδ' ὅλως παρυφίστασθαι· [illegible] δ' οἷον [illegible] τὸ χρῶμα, χεῖρον πάντων καὶ πολλῆς τῆς ῥώμης ἐνδείγματα πρὸς [illegible]. Τό γε μὴν ἐπὶ τῶν [illegible] των ἐξηρημένων, ἐνίοτε οἰνωπόν, πολλὰ θρασυνόντων, ἢ μακρὰν τάσιν ἐπιφαίνεσθαι πυρετῶν, καὶ ἵνα δ' ἂν αὐτῷ τῶν ἀγαθῶν συνδράμοι σημείων.

Κεφ. ιζ.
Περὶ Διαγνώσεως κυανῶν Οὔρων.

Κυανοῦ δ' ὁποῖον μὲν τὸ εἶδος καθέστηκεν φθάσαντες εἰρήκαμεν ἐν τοῖς περὶ διαφορᾶς οὔρων λόγοις, ὅτι δὲ βέλτιον νῦν ἂν εἴη προσῆκον φάναι. Τὸ κύανον τοιοῦτον οὖρον φαμὲν πολλῶ ὑποφαίνει λείπεσθαι τοῦ συμμέτρου πολλοῖς ἔτι δεῖσθαι τῆς ῥώμης εἰς ἀγαθὴν τὴν μεταβολήν. Καὶ [illegible] ἐπιφερόμενα τὸν [illegible] ψυχρόν, ὅτι καὶ τὸ τοιοῦτον τῶν χολώδη χυμὸν συγκέκραται. Ὡς εἰκότως ἂν καὶ ἰκτερικοῖς προδιαπεφαναῖται γενέσθαι τὸ τοιοῦτον οὖρον ἐπιμεῖναν. Ὅτι δ' αὖ ἀπηλλάγη τοῦ ἰκτέρου, εἴτε ὑπὸ [illegible] αὐτοῦ διαμαρτυρεῖται τοῦ πάθους ἐπικρατήσαντος, εἴτε καὶ νίκη τῆς φύσεως προαγγελθείσης, [illegible] ἐπὶ σημείοις [illegible], ἐν τῷ προγνωστικῷ μαθεῖν ἐστὶν ἀκριβέστερον. Ὃ δὴ μετὰ τὸ περὶ [illegible] οὔρων γράφομεν σὺν Θεῷ διδόντι.

Κεφ. ιη.
Περὶ Διαγνώσεως χλωρῶν Οὔρων.

Τὸ δὲ χλωρὸν τοῦ χρώματος δεινόν μεν γέγονεν, πολλοῦ τε χρόνου εἰς ἀγαθὴν δεόμενον τὴν μεταβολήν, καὶ τύχης ἀγαθῆς, καὶ καρτερᾶς δυνάμεως, πρόχειρον δ' ἂν ἔτι φαῦλον ἐπινενοῆσαι τοῦ κάμνοντι, παρακρουστικὸν γὰρ τὸ τοιοῦτον, καὶ μᾶλλον εἰ ἀναταταραγμένον εἴη, [illegible] τοῦ ὑγιεινοῦ καθέστηκε χρώματος. Ἔτι τοιοῦτον γὰρ ἐμφαίνει, τὸν χολώδη τῶν λοιπῶν ἐπικρατῆσαι χυμῶν, καθ' ὅσον τὸ χρῶμα τῶν λοιπῶν χρωμάτων εἰς φαυλότητα ὑπαλλάξειν· ἂν δὲ καὶ πλέον [illegible] τὸν τοιοῦτον γένηται χυμόν, τὸ μέλαν μὲν ἐπιγενήσεται χρῶμα. Ὅτι δ' αὖ κάκιστον βέλτιστον, καθ' ὃ πολὺ ῥηθείη ἂν οἷς γὰρ εἴπομεν περὶ τοῦ μέλανος χρώματος. Νῦν δὲ τῶν λοιπῶν χρωμάτων ἀπτόμεθα, ἐπεὶ δέ τις ὁμοιότης ἐστὶ τοῖς χρώμασι τοῖς ἐλαιώδεσι καὶ τοῦ χλωροῦ [illegible]. Ἐντεῦθεν ἂν εἴη καιρὸς καὶ περὶ τῶν ἐλαιωδῶν οὔρων φράσαι.

89

Κεφ. ιθ.
Περὶ διαγνώσεως τῶν ἐλαιωδῶν οὔρων.

Τὰ τοίνυν ἐλαιώδη τῶν οὔρων εἰς τρία μὲν ὑποδιαιροῦνται εἴδη, ἕκαστον δ' αὐτῶν οἰκείαν ταυτόσημον ὀνομασίαν. Τὰ μὲν γὰρ ἐλαιοφανῆ, τὰ δὲ ἐλαιόχροα κέκληνται, τὰ δὲ ἐπὶ τούτοις ὁμωνύμως τῇ διαφορᾷ, ἐλαιώδη, αἳ ὁποῖα μὲν ἕκαστον ἐστὶν τῶν γινομένων εἴδη, ἡ περὶ διαφορᾶς ἔλεγχε πραγματεία, τὰ δὲ διαγνώσεως νῦν χρεὼν ἐπιβαίνειν. Ὅτι μὲν οὖν παρὰ φύσιν ταῦτα θερμότητος σύμβολα, καὶ αὐτὰ ἂν ἐπιμαρτυρήσειε τὰ χρώματα. Αἱ δ' ὑποστάσεις τῶν πονηρῶν τούτων χρωμάτων, τὰς διαφορὰς σημαίνουσι τῆς παρὰ φύσιν θερμότητος, καὶ δὴ ἐντεῦθεν διακριτέον τῷ λόγῳ τὰ εἴδη, καὶ τὰς διαγνώσεις ἀποδοτέον τοῖς θέλουσιν. Τῆς τοίνυν πιμελῆς τηκομένης, ὑποτυφούσης ταύτης δηλονότι τῆς νόσου θερμότητος, καὶ ἀρχὴν, καὶ ἐπίδοσιν, καὶ τέλειον αὐτοῦ ἐπιγραφομένης τῷ πάθει, τὰ τοιάδε τῶν οὔρων ἐπιφαίνεται, καὶ ἀρχῇ μὲν τὰ ἐλαιόχροα. Οὔπω γὰρ ἀκριβῶς ὠλόχρωσε τὰ οὖρα βραχείας τῆς πιμελῆς τακείσης. Τὰ δ' ἐλαιοφανῆ ἐπιδόσεως, ἤδη τῆς συντήξεως μείζονος γενομένης. Ἀλλ' ἐπειδὰν τὸ ἀκριβὰς ἡ πιμελὴ συνταχῇ, ἃς ἐλαιώδη μὲν χροιὰν τὰ οὖρα μιμεῖσθαι [illegible] θίξησιν. Ἀκμάζειν δ' ἐνδείκνυσι τὸ πάθος ὑποσημαίνοντα, τὸ ἐπὶ τῇ τελείᾳ συντήξει τῆς πιμελῆς συντήξει. Ἐπισκεπτέον μέντοι οὐκ ἐπιλανθάνεσθαι χρεών, ὡς τὰ τοιαῦτα τῶν οὔρων, ἐνίοτε μὲν τῆς καθ' ὅλου τὸ σῶμα συντήξεως σύμβολον τυγχάνουσι, ἐνίοτε δὲ τῶν νεφρῶν αὐτῶν μόνων. Καὶ δὴ τῷ λόγῳ τούτῳ προσθετέον, καὶ τὴν ἐπὶ τούτου διάγνωσιν, ὡς εἰκὸς ἀποδοτέον, ἵνα μήτις καὶ πλανῷτο τοῖς ἀλλήλων πάθεσιν ἐπαλλόμενος. Εἰ μὲν οὖν διὰ βραχὺ τὸ χρῆμα τοῦτο προβαίνει, ὡς διὰ πολλοῦ τοῦ χρόνου τὰ ἐλαιώδη ταῦτα καθίστασθαι χρώματα, τῆξιν δὲ παντὸς τοῦ σώματος καὶ πυρετοῦ σημεῖον. εἰ δ' ἀθρόως, καὶ διὰ βραχέος, κατ' ἀπόστασιν τοῦ χρόνου, τῶν νεφρῶν ὑπαγορεύει τὸ πάθος. Προσεπιμαρτυρήσει δὲ ταῦτα, καὶ ἡ προσοῦσα θέρμη πλείων, ἐκείνοις μὲν περὶ νεφροὺς ἐγκατεσκημμένη μόνοις, τοῖς δὲ τοῦ ἐφ' ὅλου συντηκομένου τοῦ σώματος. Καὶ τὰ μὲν ἐλαιώδη τῶν οὔρων, ὧδέ πως τις ἂν διαγνοίη ταῖς ῥηθείσαις μεθόδοις ἑπόμενος. Ἑξῆς δ' ἂν εἴη ποιητέον φάναι περὶ τῶν λειπομένων χρωμάτων.

Κεφ. κ.
Περὶ διαγνώσεως φαιῶν πελιδνῶν καὶ μελανῶν οὔρων.

Φαιὰ τοίνυν καὶ πελιδνὰ καὶ μέλανα τῷ αὐτῷ μὲν κέχρωσται χρώματι, τῇ δ' ὑποστάσει τε καὶ τῇ τοῦ χρωννῦντος χυμοῦ, διαφόρων τε εἰδῶν, καὶ τῶν σωμάτων τετύχηκεν, ὥστε καὶ διὰ φορτία διὰ τοῦτο τὰ πάθη σημαίνειν.

εἴη κεχωρισμένος πρὸς τὸ μηδέν. Τῶν γὰρ τοιούτων πυρετῶν διαλειπόντων, ὅτε τεκμαιρόμεθα τὴν λύσιν, ἐσομένης τῆς ὑπομονῆς, ἅπαντα δηλονότι πέψεως τινὸς ὀφθῇ σημεῖα. Παραπλησιάζονται δὲ τούτων τῇ ταχύτητι ὁ τριταῖος διαλείπων πυρετός. Τὸ δὲ γὰρ κινεῖσθαι τῆς ἐπιμελείας τούτου οὐκ ἂν ἐπιμείνοι τὴν δευτέραν ἐπισημασίαν, εἰ μή τι νόθος εἴη τριταῖος. Καὶ καθ' ὅσον ἂν ἡ πέψις προέχῃ, καὶ τὴν λύσιν ὅσον οὔπω παραγενήσεσθαι σημαίνει.

Κεφ. ιδ.

Διαγνώσεως οὔρων τῶν ἐπὶ σήψει πυρετῶν.

Συνεχῶν δὲ ἐπὶ σήψεσι πυρετῶν, πρῶτον μὲν ἂν τὰ χρώματα ἀλλοιωθείη πρὸς τὸ πυρρὸν, καὶ ἐρυθρὸν, καὶ οἰνωπὸν, καὶ κυανοῦν, καὶ τὰ παραπλήσια χρώματα, κατὰ τὴν τῶν χυμῶν ποιότητά τε καὶ ποσότητα. Καὶ αἱ συστάσεις τούτων, ἀνώμαλοι, καὶ μᾶλλον εἰς τὸ παχύτερον ῥέπουσαι, ἐνίοτε μὲν ἐπὶ τὸ λεπτότατον. Ὅτε δὴ καὶ τὰ χρώματα ἤτοι λευκὰ, ἢ ἐλαιώδη τυγχάνει, παρυφιστάμενα δὲ τοῖς οὔροις οὐκ ἂν ὀφθείη πεπεμμένα, ἀλλ' ἀνώμαλά τε καὶ διάφορα. Προχωρούσης δὲ τῆς νόσου ἄγαθα ταῦτα πάντα γίνεται, καὶ πέψεως ἤδη φαίνεται σύμβολα. Οὐ δεῖ δὲ καὶ τοῦτο λανθάνειν, ὡς ἐνίοτε κατὰ τὰς ἀκμὰς ἀθρόα τε καὶ παχέα ὑφθάνει παρυφιστάμενα, τὴν ὁρμὴν ἄνωθεν λαβούσης τῆς ἐπὶ τῷ φλεβώδει γένει τῶν χυμῶν πέψεως, καὶ τοῦτο μὲν ἀποδέχεσθαι δεῖ ἄριστον οὐσίαν σημαίνοντα, ἀπορητέον δὲ τὰ τοιαῦτα κατὰ τὰς ἀρχὰς ἐπιφαινόμενα· δεῖ γὰρ ἐνταῦθα χρόνου τε καὶ ῥώμης τῆς πέψεως δυνάμεως. Χείρονα δ' ἂν εἴη τὰ οὖρα τούτων, εἰ μή γε προχωρούσης τῆς νόσου, καὶ παρυφιστάμενα φαίνεται μηδὲ καὶ φαινόμενα τῶν ἀμεινόνων ᾖ. Τάχα γὰρ ὧδε ἐπιδιδούσης τῆς νόσου, καὶ τῶν δεινῶν ἐν οὔροις φαινομένων σημείων, προσφάλη θάνατος τῆς παρακμῆς τὸν κάμνοντα. Ἀλλὰ τοῦτο τῆς προγνωστικῆς μέρος ὂν ἐν καιρῷ δεῖ καὶ διαγνωσθῆναι. Λοιπὸν οὖν ἂν εἴη φάναι, καὶ περὶ τῶν ἐφ' ἑτέροις τρόποις ἀλλοιουμένων οὔρων.

Κεφ. κε.

Διάγνωσις οὔρων τῶν ἐπί τισι τῶν κυρίων πεπονθότων μορίων.

Φλεγμονῆς τοίνυν καὶ ἐρυσιπέλατος, καί τινος ἑτέρας παραπλησίας διαθέσεως ἐπὶ τὸ βαθύτερον ἐμπεσούσης παρά τινα τῶν κυριωτάτων γεγονότων μορίων ἀξιολόγως ἂν καὶ τὰ οὖρα ἀλλοιωθείη. Τοσοῦτόν γε μὴν πρὸς ἄλληλα διαφόρως ἕξει, ὅσῳ καὶ τὰ μόρια ἀλλήλων ἐστὶ κυριότητι καὶ ἐγγύτητι τοῦ ποιοῦ θερμοῦ διενήνοχεν. Καὶ ἥπατος μὲν καὶ πνεύμονος τοιαῦτα τινὰ [illegible] φλεγμονῆς [illegible] χυμοῦ, ἐρυθρότερα ἂν καὶ αἱματωδέστερα οὖρα καὶ οἰνωπὰ ὀφθείη κατά τε τὸ ποσὸν καὶ τὴν ποιότητα τῆς θερμότητος. Ἐλάττω δ' ἔσται διά τε τὸν ἐγκέφαλον, καὶ τὸν ὑπεζωκότα ὑμένα, καὶ τὴν κοιλίαν, τὰ τοιαῦτα τοὺς πάσχοντας ἀλλοιοῦται τὰ οὖρα. Ἐπὶ σπληνὸς μέντοι, φαῦλα μὲν τὰ χρώματα, διὰ τὴν τοῦ πλεονάζοντος ἐκεῖσε χυμοῦ σκαιότητα, ἥκιστα τὴν ὀξύτητα ἐν οὔροις τῆς θερμότητος ἔλαβε, μείων δὲ ὁ πυρετὸς τῶν ἐπὶ τοῖς ῥηθεῖσι μορίοις. Μήτρα δὲ καὶ νεφροί, καὶ κύστις, κῶλόν τε καὶ ἀρχὸς ἀλλοιῶσαι μὲν καὶ ταῦτα πεπονθότα τὰ οὖρα, ἔλαττον μέντοι ἐγκεφάλου καὶ ὑπεζωκότος τοῖς αὐτοῖς ἐνοχλούντων πάθεσι. Τά γε μὴν ἐπὶ πᾶσι τούτοις προειρημένα ἐπισημαίνεται μὲν καὶ τὰς τῆς φύσεως ἐπικρατείας τε καὶ ἀρρωστίας, ἐπιδηλοτέρους δὲ καὶ τοὺς πεπονθότας ἀποδείξει τόπους. ὧν τὰ μὲν εἴρηται. Τὰ δὲ καὶ λεχθήσεται. Τῶν δ' ἐντὸς καὶ πόρρωθεν κώλων τοιαῦτα νοσησάντων, μετρίως μὲν τὰ οὖρα καὶ οὐ πάνυ σαφῶς ἀλλοιωθείη, [illegible] δὲ μᾶλλον σημεῖα δεῖξαι, μὴ προσεπαχθέντος ἀπ' ἐκείνων δηλονότι τινὸς πυρετοῦ σφοδροῦ, οὗ δὴ προβραχέος τὰ σύμβολα τῷ λόγῳ τούτῳ παραδεδώκαμεν. Ὅσα δ' αὖ τὴν ἀρχὴν τοῦ πάθους ἀπό τινος ἐσχηκότος εἴληφε ψυχροῦ χυμοῦ, εἴτ' ἐγκέφαλος εἴη, εἴθ' ἧπαρ, ἢ πνεύμων εἴθ' ὑπεζωκὼς ὑμήν, ἢ γαστὴρ ἤ τι μόριον ἕτερον, τῶν τε μὲν πόρρω τοῦ θερμοῦ, μᾶλλον ἀλλοιωθείη, καὶ ψυχρότητος καὶ ὠμοχυμίας δεῖξαι οὖρα. Ὅσα δ' αὖ ὅσα [illegible] ἐκείνων τὴν φυσικὴν θερμότητα, διά τε τῶν ἀγγείων τὰ ἀξιόλογα, καὶ διὰ τὴν καρδίας ἐγγύτητα, ἢ γὰρ τὴν ἀρχὴν οὐ παραδέχεται, ἢ παραδεξάμενα, μετρίαν ὑποφαίνει τὴν μεταβολὴν τοῖς οὔροις γεγενημένην. Φαυλότερα μέντοι οὖρα [illegible] νοσοῦσι τῶν πόρρω [illegible] πάθει. Προσθε=

=σθαι δὲ καὶ

δὲ περὶ τούτων οἰκειοτέρως κἀν τῷ περὶ προγνώσεως οὔρων βιβλίῳ. Ἐπεὶ δὲ τά τε τῶν ἁπλῶν κράσεων ἐπιτεταμένων γεγράφηκαμεν οὔρων εἴδη, οἶδα δὲ καὶ τὰ τῶν πλεοναζόντων ἐξαιρέτως χυμῶν ἐν οὔροις εἴδη, ῥᾳδίως ἂν καὶ τὰ ἐπὶ τοῖς κατέχουσι νοσήμασιν ἐξαίρετα οὖρα, ὡς ἂν ἀκριβῶς καὶ τὰς ἐπὶ τούτοις ἐπιβαίνειν διαγνώσεις. Οὐ γὰρ ἄξιον ἡμῖν καθ' ἕκαστον ἐξαγγέλλειν ὅσα οὖρα τοῖς κατὰ μέρος ἐπιφαίνεται νοσήμασι τὸ μὲν, τὸ πλάτος τοῦ λόγου φεύγουσι, τὸ δ' αὖ ἀρκέσας [illegible] πρὸς διάγνωσιν μεθόδου. Ὥς τε καὶ ῥᾷον ἂν δέξαιτο τὸ πολὺ τοῦ λόγου συνελόντι τῷ ἐπελθεῖν [illegible] τὰς περὶ τῶν νοσημάτων διαφοράς τε καὶ αἰτίας βιβλία, τὸ διαγινώσκειν ἕκαστα τῶν φαινομένων οὔρων. Εἰ γάρ τις ταῦτα ἀκριβῶς εἰδείη, καὶ ἐν ὁποίοις μάλιστα χυμοῖς συνίσταται τῶν ἀξιολόγων νοσημάτων ἕκαστον, εἶτ' ἔξει δὲ καὶ τῶν ῥηθησομένων ἐνταῦθα μεθόδων γνῶσιν, ῥᾷστ' ἂν λογιζόμενος ἐξαίρετα διά τοι οὖρα νοσήμασιν ἐπιφαίνεται μάλιστα. Τὰ μὲν γὰρ [illegible] ἴσως μάθοι ὅσα οὖρα περὶ τὸ φλεβῶδες γένος συνίσταται. Ὅσα δ' ἀπέκεινα τούτων, οὐ δυσχερὲς μὲν ἴσως, οὐ μὴν δ' οὖν [illegible] τὰ συνδιαδιδόμενα διαδιδράσκουσιν τὸν ἀκριβῆ ἐπισκέψασθαι ποιήσαιεν. Ὅσα καὶ γὰρ, ἢ πνευματώδη ἀλλοιωθέντα μένει γίνεται, ἢ τοῦ νευρώδους πεπονθότος γένους, ῥᾳδίως μὲν ἀπὸ τῆς τῶν οὔρων οὐκ ἂν γνοίης ἀποκαλύψεως. εἰ μή πως ἐπιδοθέντος πάθους τὸ φλεβῶδες αἴσθησιν λάβοι γένος· ἐνταῦθα γὰρ τοῖς οὔροις ἐπίδηλα τὰ πάθη γίγνεται.

Κεφ. ιε.

Ὅτι δεῖ τὸν ἀκριβῶς ἐπισκέπτεσθαι βουλόμενον καὶ τὴν περὶ σφυγμῶν πραγματείαν ἀκριβῶς ἐπίστασθαι.

Ἀσφαλέστερον δ' ἂν ἴσως περὶ τούτων γνοίη ὁ τὰς τῶν σφυγμῶν κινήσεις ἐξεταστικῶς κρίνειν. Αἱ γὰρ τῆς ἀρτηρίας καρδίας μὲν κεκοινωνήκασιν ὡς ἴσμεν χιτῶνες, πνεῦμα δ' ἐν αὐταῖς ἐμπεριέχουσιν. Ὥστε προδήλως ἂν αὗται γνῶσιν παρέχοιεν τοῖς εἰδόσι σφυγμῶν ἀπλανῆ, γνωρίζειν τινὰ περὶ τὸ πνεῦμα καὶ τὸ τῶν νεύρων γένος ἀλλοίωσιν. Αὐτῶν μέντοι κρεῖττον δηλώσουσι τὰ οὖρα, ὅσα περὶ τοὺς χυμοὺς καὶ τὰς πέψεις, καὶ ὅσα ἐπὶ τούτοις συμβαίνουσιν. Καὶ ἔστι τὸ ἀληθὲς δέον εἰπεῖν, καὶ ἀμφοτέρων δὴ τῶν μαθημάτων τὸ διαγινώσκειν ὀρθῶς σπουδάζοντι. Ὥσπερ γὰρ τῷ διεξ-

= ιόντα εἶπεν

ζωγόλα οἶνον ἀναμαννίσαι σπεύδοντι, καὶ ἀμφοτέρων δεῖ χειρῶν. δυοῖν γὰρ θαλάττης διατεμνομένης οὐκ ἀσφαλὲς ἄγαν διευθύνειν τὰ σκάφη, οὕτω τῷ τὴν τέχνην μετιόντι καὶ ἀμφοτέρων δεῖ τῶν πραγματειῶν. Ἀλλ' ὁ μὲν περὶ διαγνώσεως οὔρων λόγος, ἀναθεὶς μὲν τοῖς ἀκούουσιν οὕτω φανείς, ὠφέλιμος δὲ τοῖς κάμνουσι σώμασιν, ὁπόσον ἂν ἀληθείας ἀπολαύσῃ καὶ συντάξεως ἂν τοῖς γενναίοις ἔχουσιν, ὀρθῶς κρίνοιτο. Ἡμῖν δὲ σύμμετρον ἀποδεδωκόσι τῷ λόγῳ μέτρον δίκαιον ἂν εἴη καταπαύειν ὧδέ πη τὸν λόγον, ἵνα μὴ καὶ πολυλογίαν ἐγκληθῶμεν. Ἀλλ' εἰ δ' ἄν τις ἐγκαλῶν τῷ λόγῳ νομίσῃ λείπειν τοῦτο νῦν πεισθέμενος πανέσθω. Ἐπειδήπερ τὰ μὲν πῶς ἐκ τῶν ῥηθέντων ἀπίθανα νομισθέντα λέλειπται, τὰ δ' αὖτε καὶ ζητήσαιτ' ἂν τοῖς περὶ προγνώσεως λόγοις, ἐκεῖσε μᾶλλον ἁρμόζειν δόξαντα. Κεκοινωνήκασιν ἀλλήλων πολλῷ τῶν ἄλλων ταύτης τῆς πραγματείας τὰ μέρη. Ὥστ' οὐ δεῖ θαυμάζειν εἴ τι καὶ λελεῖφθαι δοκεῖ, μᾶλλον ἐκεῖσε δόξαν ἡμῖν ἁρμόττον. Ἐπεὶ τ' ἄν τι καὶ λελεῖφθαι τῷ λόγῳ δόξειεν, συγγνοίη ἄν τις πάθος ἐγκαλῶν ἀνθρώπινον, καὶ πολλοῖς τῶν ἐσπουδασμένων μετιόντων λόγους συμβαῖνον. Καὶ ταῦτα μὲν οὕτω. Δίκαιον δ' αὖ οἶμαι τῷ λόγῳ δόξαι καὶ τὰς τῶν ῥηθέντων αἰτίας, τοῖς μελλ τέλεσιν ἐπιβαίνειν λόγοις. Βραχὺ μὲν λυσιτελήσας ἴσως τῇ τέχνῃ, ἀσφαλῶς δ' ὅμως, παρασκευάζοντας τὴν ἐπὶ τῶν λεχθεισῶν μέθοδον διαγνώσεως. Ἀποδοθεισῶν γάρ τοι τῶν αἰτιῶν, πιστώσαι τ' αὖθις μᾶλλον τὰ λελεγμένα. Καὶ ὁ μὲν περὶ περὶ τῶν διαγνώσεων τῶν οὔρων λόγος, ἐχέτω ἤδη ῥηθεὶς ἀρκούντως. ἐφεξῆς δ' ἀρχέσθω ὁ περὶ αἰτίας οὔρων τῆς ἐκκλείας ἐπαγγέλλων τῆς ἐπὶ πᾶσιν συνθήκης. Ὁ θεὸς δεδοίη κατὰ τὸ συμπεράναι λόγῳ τῆς ἀληθείας πηγὴ ὤν.

Ἀκτουαρίου περὶ διαγνώσεως οὔρων τὸ Β.

Τέλος.

ΑΚΤΟΥΑΡΙΟΥ
ΠΕΡΙ
ΑΙΤΙΩΝ ΟΥΡΩΝ
ΤΟ Α.

Τὰ δ' ἐνάρξιν ἐν τῷ Α περὶ Αἰτίων οὔρων.

Ἀκτουαρίου περὶ Αἰτιῶν Οὔρων τὸ Α.

Ἐπειδὴ τῷ περὶ τινὸς ἀρχομένῳ γράφειν ζητήματος, οὐ τὰ ἀναγκαῖα μόνον θέμις περιλαμβάνειν τοῖς γράμμασι, ἀλλὰ καὶ ὅσα χρήσιμα τῷ προκειμένῳ σκοπῷ πέφυκεν. Οὕτω γὰρ διὰ πάντων ὁ λόγος τέλειος γενήσεται, καὶ ὁ περὶ αἰτίας οὔρων, δικαίως νῦν ἀποδοθείη τῇ πραγματείᾳ. Τοῖς μὲν γὰρ παρὰ τὸ πλέον ἐγγυμνασθεῖσι τῇ τέχνῃ καὶ λόγων ἀλογήσασιν αἰτιώδη τινῶν, μόνος ἂν ὁ περὶ διαγνώσεως ἀρκέσῃ λόγος. τοῖς δὲ φιλοσοφίᾳ τὴν τέχνην καλλύνουσι, καὶ προσέτι πάντα ἢ μηδὲν τι ἀναίτιον εἰδέναι βουλομένοις, ἀναγκαίως ἂν καὶ ὁ περὶ αἰτίας οὔρων λόγος ἀποδοθείη. ὁ μὲν γὰρ ἀκριβῶς εἰδὼς ἐξετάζειν τὰς τῶν γινομένων αἰτίας, ῥᾳδίως ἂν καὶ τὰ διαγνωσθέντα ἐξετάζοιτο, καὶ τὰ λείποντα προσθείη ἂν βουληθείς. Ὁ δ' ἀγνοήσας τοὺς περὶ αἰτίας λόγους, οὐδὲ ἐπιστημόνως ἕξει τὰς διαγνώσεις τούτων. Ὥστε δίκαιον ἂν εἴη καὶ τοὺς περὶ αἰτίας οὔρων λόγους ἐπιθεῖναι τῇ πραγματείᾳ. ἵνα διὰ πάντων καλῶς τε καὶ τελείως ἥκων ὁ λόγος, πᾶσιν ἀρκῶν ὀφθείη τοῖς περὶ τὰ τοιαῦτα ἐσπουδακόσιν. Ἐπεὶ τοίνυν περὶ αἰτίας οὔρων οἵων δή τινων φαινομένων εἰπεῖν προὐθέμεθα, χρεὼν ἂν εἴη προεπιθεῖναι τῷ λόγῳ τῆς περὶ αἰτίας πέψεως, ὥσπερ ἀναλαμβάνουσι τὸν λόγον.

Κεφ. α.

Περὶ αἰτίας τῆς τῶν ζώων διαμονῆς.

Τῆς τοίνυν ἀνθρωπίνης φύσεως, καὶ μὲν τὸ παράμονον ταῖς τῶν εἰδῶν διαδοχαῖς τηρούσης ταῖς ἐξ ἀλλήλων συνεχέσι γεννήσεσι, τῆς δὲ καθ' ἕκαστον δηλοῦσαν αὖθις διαμονῆς, ἵνα μὴ τὸ γεγεννημένον ἅμα φθείροιτο, τὴν ἀπὸ ταῖς τροφαῖς ἐξεῦρε μέθοδον, καὶ ταύταις τὸ καθ' ἕκαστον συνεστήσατο τὴν ζωήν, προκατασκευάσασα τροφῆς ἀγγεῖα ποικίλα, καὶ τέλος ἐπιθεῖσα τὴν ζωτικὴν αὐτὴν δύναμιν. Τριῶν οὖν καὶ ξηροῦ καὶ πνεύματος ὄντων τῶν τὴν σύστασιν αὐτὴν τοῦ σώματος ἀναπληρούντων, καὶ τὰ τέλη τῆς ζωῆς ἐναρμοζομένων ὁ μὲν περὶ τροφῆς τοῦ πνεύματος λόγος, ἄλλαις μᾶλλον ἂν πραγματείαις ἁρμόσει. Ὁ δέ γε περὶ ξηρᾶς τε καὶ ὑγρᾶς τροφῆς δίκαιος ὢν λελέχθαι, ἤδη πῃ καὶ [illegible] λυσιτελήσων, ὃν τὰ μέτρια ἢ τὰ μέτρια τῇ περὶ οὔρων πραγματείᾳ.

Κεφ. β.

Κεφ. β.

Περὶ αἰτίας τῆς τῶν παρυφισταμένων γενέσεως.

Τῆς τοίνυν τροφῆς πρῶτον διαμασηθείσης, καὶ παρασκευασθείσης εἰς πέψιν ἑτοίμως, αὐτήν τε, καὶ τὰ πόματα ἡ γαστὴρ εἰληφυῖα, καὶ περιπτυξαμένη τῷ ἐμφύτῳ ἀλλοιοῖ θερμῷ, μηδενός τινος ἐμποδὼν τυγχάνοντος. Ἐπειδὰν δὲ ταύτην χυλοποιήσῃ, ὅσον μὲν λεπτότερόν τε καὶ ἀκραιφνέστερον, ταύτης διὰ τῶν μεσαραϊκῶν ἐφ' ἥπατος φλεβῶν ἀναμυζᾶται ὅθεν καὶ [illegible]ᾶται πρὸς κρείττω τινὰ ταύτης μεταβολήν. Πρώτην μὲν γὰρ ἀληθῶς ἀλλοίωσιν ἡ τροφὴ περὶ τὴν γαστέρα δεξαμένη, τὴν ἐν φλεψὶ καὶ ἥπατι ἐπὶ ταύτῃ, δευτέραν λαμβάνει, κρείττω μὲν τῆς προτέρας, μείω δὲ τῆς μετ' αὐτὴν τρίτην πέψεως. Ἀλλ' ἐπειδὴ ἀρκούντως ὡς εἴρηται ἡ περὶ τὴν γαστέρα τροφὴ πεφθεῖσα, τὸ μὲν [ἄχρηστον ταύτης] δι' ἐντέρων ἀποκριθῇ· τὸ δ' ὡς χρήσιμον ἀναδοθῇ, τοῦτο ἡ ἐν ἥπατι καὶ φλεψὶν δεξαμένη δύναμις, καὶ αὐτὴ καθ' ἑαυτὴν ὑγιῶς ἔχουσα, ἀλλοιοῖ τε καὶ εἰς ἐρυθρότητα μεταβάλλει αἵματος, κἀκεῖθέ πῃ διὰ τὰ κοῖλα γεγονυίας τῆς τοῦ αἵματος διακρίσεως, οὐ γὰρ ἔσται ἔτι ποικιλωτέρῳ βαίνειν τοῦθ' ὡς ἔτυχεν, ἵνα μὴ καὶ ἀκραιφνοῦς ἀποδοθείσης τῷ σώματι τροφῆς, καὶ ἡ σὰρξ φαύλη κατασκευασθείη, ἀκαίρως περὶ τὰ κυρτὰ τοῦ ἥπατος τεταγμένη τὴν χοληδόχον κύστιν, τὸ μὲν λεπτότερόν τε καὶ δριμύτερον τοῦ αἵματος, ἐκεῖ πῃ διὰ τοῦ καθήκοντος πόρου μεταχωρεῖν ποιεῖ, ὁπόσον δὲ ἰλυῶδές τε καὶ παχύτερον, ὁ σπλὴν πρὸς ἑαυτὸν ἐφέλκεται. Καὶ δὴ τοῦ μὲν ξανθοχόλου καὶ ἰλυώδους οὕτω διακριθέντος χυμοῦ, λειπομένου δὲ τοῦ ὀρρώδους, οὐκ ἔτι εἰκὸς διακριθῆναι οὕτω τοῦτον, καὶ τῶν νεφρῶν παρακειμένων. Διὰ δὲ τῆς στελεχιαίας φλεβὸς καὶ τῶν κοίλων διαβιβασθέντος τοῦ ἥπατος, καὶ ἐπὶ τὰ κυρτὰ διαδοθέντος, ἐπὶ τῇ κοίλῃ καλουμένῃ φλεβί, ἵνα ὅπως δηλονότι καὶ τὸ αἷμα διαπορθμευθείη· στενοχωρία γὰρ τῶν πόρων πάσχουσαν μεταξὺ τοῦ ἥπατος διὰ τοῦ ἀποσχιζομένου διὰ τὸ λαμβδοειδὲς σχῆμα, καλούμενον τῆς κοίλης φλεβὸς [illegible] περὶ τοὺς νεφροὺς διακρινόμενον, χωρεῖ τὸ ὀρρῶδες οὖρον μόνον ἐκεῖθεν φερόμενον. Ὅσον δὲ τοῦ αἵματος πάσχουσαν, ἐπ' αὐτὴν ἤδη χωρῆσαν τὴν καρδίαν, καὶ κρείττω τῆς προυπαρχούσης δεξάμενον ἀλλοίωσιν, ἐπὶ τὰ τοῦ σώματος ἐκεῖθεν διὰ τῶν φλεβῶν καταχορηγεῖται

μέρη, ὅθεν

μένης, ἔρδον οἷον τὸν αὐχμὸν τοῦ στόματος. Καὶ γοῦν πρώτης μὲν πέψεως τῆς περὶ τὴν γαστέρα, δηλονότι περιττώματα τά τε ἐμέσματα, καὶ τὰ διαχωρήματα δείκνυται· τῆς δ' ἐν τοῖς κοίλαις τοῦ ἥπατος αἵ τε χολαί, καὶ τὰ οὖρα. Λείποιτ' ἂν οὖν καὶ περὶ τῆς τρίτης ἤδη πέψεως φάναι, ἐπὶ τῷ φλεβώδει γένει ἀναρτημένης. Οὕτω γὰρ ἀποδοθέντος τοῦ λόγου, ἀρκοῦσαν ἂν οἶμαι παρασκευὴν ἔχειν πρὸς τὰ ζητούμενα, ἐπὶ ταῖς τῶν φαινομένων αἰτίαις οὔρων. Τῆς τοίνυν τελευταίας τε καὶ τρίτης πέψεως γενομένης κατὰ τὸν αὐτῇ προσήκοντα λόγον, καὶ τὰ ἐπ' αὐτοῖς οὔροις φαίνεται περιφιστάμενα περιττώματα, ὥσπερ δὴ τὰ λεπτότερα, οἵ θ' ἱδρῶτες καὶ τὰ διαπνεόμενα περίεισιν ἀδήλως. Καθ' ὅσον ἂν οὖν διαμαρτία, κἀπὶ τῇ τοιαύτῃ τρίτῃ πέψει γένηται, καὶ τὰ περιφιστάμενα δείξουσιν. Ὁ γοῦν τε αὐτὸς ἐφ' αἷς αἰτίαις μεταβάλλεται καὶ τὰς διαγνώσεις ἀσφαλέστατα τῷ λόγῳ ἂν ἀποδοθείη. Ἀλλ' ὁ μὲν οὖν περὶ διαγνώσεως λόγος ἤδη πη τελείωται, ζητείη ἂν οὖν εἰκότως ὁ περὶ αἰτίας, ὥσπερ προαγαγόντος τοῦ παντὸς λόγου. Προδιασκεψάμενοι οὖν περὶ αἰτίας περιφισταμένου, οὕτω τῶν λοιπῶν ἁψώμεθα, καθ' εἱρμὸν προβαίνοντες ἐν προσήκοντι. Οἷον οὖν δὴ συμβαίνειν εἴωθεν, ἐν τοῖς ἀποστήμασιν, καὶ οἷοις δή τισιν ἕλκεσιν, ἂν μὲν ἐπικρατοῦσα ἡ φυσικὴ καὶ πεπτικὴ δύναμις, βραχύ τι ἢ οὐδὲν τὰ πύα ὄζει, καὶ λευκὰ καὶ λεῖα καὶ ὁμοιομερῆ πάντα τυγχάνει; μὴ κρατούσης δὲ τῆς φυσικῆς δυνάμεως, τἀναντία φαίνεται τραχέα καὶ ἀνώμαλα, καὶ τοῖς χρώμασιν αὐτῶν διάφορα, ὄζει τε βαρέως καὶ πάντη τῶν ὑγιεινῶν αὐτῶν ἀπέοικε. Τοιοῦτον δὲ δεῖ κἀπὶ τῶν περιφισταμένων συνορᾶν. Τὸ μὲν γὰρ φθάσαν ἐν φλεψὶ ἀλλοιωθὲν εἰς αἷμα, εἰς ἀνάλογον μὲν τῷ πύῳ εἶδος μεταβάλλεται, ἐπικρατούσης τῆς πεπτικῆς δυνάμεως. Καθ' ὅσον δ' ἂρ αὕτη μὴ κρατοῦσα διαμαρτάνει, καὶ ταῦτα πρὸς τὰ χείρω μεταβάλλεται εἴδη. Καὶ ταῦτα μὲν ὡς εἴρηται γέγονεν· ἑξῆς δ' ἀναληπτέον τὸν λόγον.

Κεφ. γ.
Περὶ αἰτίας τῶν γινομένων ἀπεψιῶν.

Αἱ τοίνυν ἀπεψίαι κατὰ γαστέρα γένοιτο ἂν μὲν καὶ διά τινα δυσκρασίαν αὐτῇ συμβᾶσαν. Γένοιτο δ' ἂν καὶ διά τι συμβὰν ὀργανικὸν πάθος, ὥσπερ καὶ διὰ πάχος, ἢ πλῆθος, ἢ

γλισχρότητα

γλισχρότητα, ἤτινα ποιότητα ἀλλόκοτον τῶν χυμῶν, ἢ καὶ διά τινα τῆς τροφῆς ἰδιότητα. Αἱ
δὲ δὴ καθ' ἧπαρ, καὶ διὰ ταύτας μέν, ἀλλὰ καὶ διὰ τὴν τῆς πεπτικῆς δυνάμεως ἀρρωστίαν·
Διὰ δὲ τὰς αὐτὰς ἂν καὶ παραπλησίους αἰτίας, καὶ ἡ τῆς τρίτης πέψεως διαμαρτηθείη ἂν
ἐνέργεια, καὶ δι' ἃς μὲν τῶν πέψεων ἑκάστη ἀποτύχοι αἰτίας τοῦ προσήκοντος ἔργου [συν=
τέλοντα μὲν φάναι] αὗται εἰσίν. Ἐκεῖνο δὲ [illegible] εἰδέναι, ὡς κἂν ὑπερβάλλοιεν τὸ σύ=
μμετρον τὰ χρώματα, κἄν τε καὶ λείποιτο τούτου, ἅπαντ' ἂν εἶεν εἰκότως τῷ γενικῷ
τῆς ἀπεψίας ὀνόματι, καὶ οὕτω λέγειν προσήκει. Πῶς δ' ἂν ἑκάτερα ῥηθεῖεν ἅπαντα,
ὁ τοῦ νῦν ἐστὶ λόγου, εἴτ' ἀμαυρουμένης τῆς ἐμφύτου θερμότητος, εἴτε πλεοναζομέ=
νης ὑφ' ὁποίας οὖν νόθου θερμότητος. Τῶν τε γὰρ φυσημάτων καὶ τῆς ὑδαλέας ἕξεως,
ἀθρόως τε καὶ τῶν παραπλησίων ὑπ' ἀπεψιῶν γιγνομένων, δι' οἷον δή τινα ψυχρότητα,
καὶ τῶν ἰκτερικῶν παθῶν, ἑρπήτων τε καὶ τριταίων καὶ τῶν παραπλησίων, ὑπ' ἀπεψίας
ὅλης οἵας δή τινας ἐπικρατησάσης νόθου θερμότητος, τῆς ἐμφύτου τε καὶ προσηκούσης θερ=
μότητος, δικαίως ἂν πάντα τὰ ἐπὶ τούτοις τὸ σύμμετρον ἀποφεύγοντα τῶν οὔρων κληθείη
ἄπεπτα. Ἐπεὶ γὰρ ἐπέκεινα τοῦ συμμέτρου καὶ κατὰ φύσιν οὔρου, οὐκ ἔστιν οὐρεῖν ἀμεί=
νον, πᾶν δ' ὅταν ἐλλείπῃ τε καὶ ὑπερβάλλῃ, ῥηθείη ἄπεπτα. Σὺ δὲ καὶ ἄλλο εἴ τι βέλτι=
ον ἔχεις ὄνομα τὸν λόγον διορίζον· οὐ γὰρ ἔγωγε διοίσομαι ἐπὶ ψιλαῖς τινῶν ὀνομάτων,
μόνον μὴ διαμαρτάνω τοῦ σκοποῦ τῶν λόγων. Καὶ ὁ περὶ ἀπεψίας μὲν λόγος ὑφ' οἵας
δή τινας αἰτίας γίνεται, ἱκανῶς ἂν καὶ τῶν ῥηθέντων γνωσθείη τῆς κατὰ φύσιν τε
πέψεως δηλονότι, ἐπὶ συμμέτρου τε καὶ κατὰ φύσιν θερμότητός τε καὶ ὑγρότητος γιγνο=
μένης. Νυνὶ δὲ πάλιν ῥητέον περὶ ποσότητος τοῦ χρώματος, δι' ἃς αἰτίας πλέον τοῦ
προσήκοντος φαίνεται. Εἶθ' οὕτως καὶ περὶ τῶν ἑξῆς, καθὼς κἂν τοῖς περὶ διαφορᾶς τε
καὶ διαγνώσεως οὔρων λόγοις, ἐξεθέμεθα.

Κεφ. δ.

Περὶ τῆς κατὰ τὸ πόσον τοῦ χρώματος αἰτίας.

Τὰ οὖρα τοίνυν προΐασι πλείονα, ὁπόταν πλείονι τροφῇ, καὶ μάλιστα ὑγροτέρᾳ, καὶ πολυποσίᾳ οἴνου καὶ μάλιστα εἰ ὑδαρὴς ὁ οἶνος τυγχάνει, ᾧ ἂν ὁ ἄνθρωπος χρήσηται. Ἐπεὶ οὖν ἐν ἄλλοις δέδεικται, ὡς αἱ ὑγρότεραι καὶ εὔχυμοι τροφαὶ, μάλιστά τε ἀναδίδονται, καὶ διαῤῥύκουσιν, αὖθις τῶν μὴ τοιούτων. Ὁ δὲ οἶνος πλέον τῶν ἄλλων ἀναδίδοται καὶ ῥᾳδίως διαφορεῖται, εἰκότως ἂν καὶ διὰ ταῦτα πλείω ποθεὶς καὶ διουρηθείη ἄν, ὄντως ὢν τοῦ τό πως ἐπιτηδείως ἔχοντος τοῦ εἰδέναι τῶν οἴνων μὴ τῶν παχαίων, ὡσαύτως τῶν δηλονότι διῃρημένων. Τὰς γε μὴν καὶ ἐπὶ τούτοις αἰτίας, ἃς μοι νῦν καιρὸς ἐπιπλέκειν τῷ λόγῳ, ἄλλων τε εἰπόντων περὶ τούτων ὡς οἶμαι ἀποχρώντως, καὶ μηδὲ τῆς νῦν τοῦτο ἀπαιτούσης πραγματείας. Εἰκότως ἄρα καὶ πλείω τε καὶ λεπτότερα καὶ προσέτι ἀχρούστερα φανείη τὰ οὖρα. Τὸ μὲν γὰρ ποσὸν τούτοις, διὰ τὸν τοῦ ποτοῦ μᾶλλον ἀποδίδοται λόγον· ἡ δὲ λευκότης τε καὶ λεπτότης διὰ τὴν τῆς πέψεως ἀτονίαν μὴ ἐξικνουμένης πλείονος τοῦ προσιόντος ἐπικρατῆσαι ποτοῦ, εἰ γὰρ ἐπικρατεῖ, τάχ᾽ ἂν ἀπέδωκεν αὐτοῖς καὶ χρῶμα σύμμετρον, καὶ σύστασιν, καί τινα προσπαθείη δέοντα παρυφιστάμενα, πλείω δὲ μᾶλλον τῆς πινομένης ἐπὶ τῶν ἤδη παχθέντων ὠμῶν χυμῶν οὖρα φαινόμενα, διὰ ποίαν δή τινα τὴν αἰτίαν γένοιτ᾽ ἄν. Ἐπειδήπερ ταῖς πέψεσι καὶ θρέψεις ἕπονται καὶ ἀναλώσεις πρὸ ταύτης, Εἰκὸς δὲ καὶ περιττὸν ὑγρὸν ὑποδίδοσθαι τῆς πεττομένης ὕλης· εἰκότως ἂν ἐπὶ τῶν ἤδη χυμῶν ὠμῶν παχθέντων, καὶ πλείω οὖρα φανείη. Καὶ τῷ μὲν οὖν ὑγραίνειν καὶ τρέφειν αὐτοὺς τὰ σώματα πεττομένους, οὐ χρεία τῆς τοῦ θύραθεν ἐπιγίνεται πώματος, εἰ μή τι βραχεία τῆς συνηθείας μᾶλλον καὶ ταύτης βιαζομένης. Τῷ δὲ δεῖσθαι τὰ περιπτώματα τῆς ἐκκρίσεως, οἱ νεφροὶ καὶ τὰ οὐρητικὰ ἀγγεῖα ὑπηρετοῦσι.

Μαθεῖν δ᾽ ἔστιν τοῦτο, κἀκ τῶν ἐσχάτως γινομένων ἐπὶ ἀνθρώποις κάμνουσί τε καὶ μικρὸν ὑγραίνουσιν σώμασιν. Διηνέχθη δὲ τούτων τὰ ἐπὶ τῷ λόγῳ κρίσεως ἐπὶ τῶν πυρετῶν ἐκκρινόμενα πλείω οὖρα, τῷ μὴ μόνον δι᾽ ὠμότητα χυμῶν παχθεῖσαν

ἐκπαθῶν

ἐκεῖθεν τὰ περιττὰ ἐκκρίνεσθαι, ἀλλὰ καὶ τὴν πᾶσαν τῶν οἵων δή τινων διαφορὰν χυ=
μῶν, ἐκεῖθεν ἀποκρίνεσθαι. Διουρητικὰ δὲ φάρμακα πλείω χωρεῖν παρασκευάζει τὰ
οὖρα, τῇ δὲ φυσικῇ λεπτομερείᾳ, καὶ τῇ θερμότητι, μικροῦ γὰρ πάντα τὰ τοιαῦτα διουρη=
τικὰ καθέστηκε. Καὶ τῇ μὲν οὖν θερμότητι, ῥᾳδίως ἀναδίδοται ταῦτα, τῇ δὲ λεπτομερείᾳ
καὶ τὰ προσόντα τῆς ὠμοχυμίας λεπτύνοντά τε καὶ διαιροῦντα δι' οὔρου μᾶλλον οἰκειότητα τῇ
τῶν φαρμάκων χωρεῖν παρασκευάζουσιν. Ἐπὶ δὲ τοῦ διαβήτου καλουμένου πάθους, δυσκρασία
τις ἐπικειμένης θερμότητος περὶ τοὺς νεφροὺς αἰτία πέφυκεν· αὕτη γὰρ τοὺς νεφροὺς οὕτω
διατιθεῖσα, ἐπισπαστικοὺς εἰργάσατο τῆς τοῦ οὔρου οὐσίας, οἱ δὲ ἀφ' ἥπατος καὶ τοῦ φλεβώδους
γένους τῇ ἀνθολκῇ ταχέως ἀπουροῦνται τυραννούμενοι. Ἐπεὶ δ' ἐνταῦθεν ἔνδειαν συμβαίνει
γίνεσθαι, καὶ φυσικῆς ὑγρότητος συναποφερομένης τῇ τοσαύτῃ τῶν ὑγρῶν ῥύμῃ, οὐκ ἀνα=
γκης μὲν ἐπιγίνεται τῷ ἀνθρώπῳ δίψα, οὐ μεῖον δὲ τῆς δίψης πόματα, καὶ οὔρων ἐκ~
[illegible] ἔκκρισις ἀναλόγως δὲ τῶν νεφρῶν πρὸς ἑαυτοὺς ἐφελκομένων τὰς ὑγρότητας.
Διὰ ταῦτα γοῦν πολλὰ μὲν τὰ οὐρήματα πέφυκεν, οὐ μεῖον δ' ἂν τούτων τὰ πινόμενα·
ὅταν δ' οὐκ ἔστι μάλιστά τις καὶ ἀκρασία οὐδ' ἂν ἴσως πάθος ἕποιτο. Τοῖς γε μὲν κατὰ
φύσιν ξηρὰν ἔχουσι τὴν γαστέρα, αὐτὸ δὲ τοῦτο παρασκευάζει πλείω τὰ οὖρα φέρεσθαι. Τὰ ~
γάρ τοι περιττώματα δέον ἂν ἐκκριθῆναι, καὶ τῆς γαστρὸς μὴ τὰ πλείω κατεχούσης διὰ τὸ
κατὰ φύσιν αὐτῆς συμβὰν πάθος, ἐκεῖσε μᾶλλον τὴν ὁρμὴν λαβόντα φέρεσθαι. Ἐπειδὴ
δέ τοι, κἀκεῖνο δεῖ προσεπιβαλεῖν τῷ λόγῳ, ὃ μᾶλλον τῇ σηπεδόνι μὲν τῆς πάσης ἕξε=
ως, τῇ δὲ νεκρώσει τῆς καθεκτικῆς ἐγγίνεται δυνάμεως. Ἐπειδὰν γὰρ ἀπαγορευούσης τῆς
φύσεως διὰ χρόνιον τινὰ διάθεσιν οἷον [illegible] νοσήματος ἢ καθεκτικαὶ τῶν χυμῶν δύ=
ναμεις, ὥσπερ παραλυθεῖσαι τέλεον ἀπολύουσι, αὐτοὶ μὲν τὴν ἔξοδον ἐπισπεύδοντες ἀπο=
κρίνονται. Ὅπη δ' ἂν τὴν ὁρμὴν οἱ δὲ λάβοιεν οὐκ ἔστιν ἰδεῖν, ὡσαύτως ὅτε μὲν γὰρ δι' ὑδρώτων
χωρήσαντες πεπληθυσμένων ὤφθησαν, ὅτε δ' αὖ διὰ γαστρὸς, ἔστι δ' ὅτε καὶ δι' οὔρων, ὧν
νῦν τὸν λόγον ἡμεῖς προυθέμεθα, ἀλλ' οἱ μὲν περὶ πεπληθυσμένων ὅπως δή ποτε ἰόντων
οὔρων λόγοι, ὧδε κείσθωσαν, ἀρκούντως σαφεῖς καὶ τῆς αἰτίας ἀποδεδειγμένης ἀξιῶ δ' ἂν
ἤδη φάναι καὶ περὶ τῶν φερομένων οὔρων, δι' ἅς τινας αἰτίας μείω φέρεται· εἴρηται μὲν οὖν ἐν

τοῖς περὶ

τοῖς περὶ διαγνώσεως οὔρων λόγοις, δι' οὓς τρόπους ἐλάττω φαίνεται. Ῥηθείη δ' ἂν καὶ νῦν τινὸς ἀναμνήσεως ἕνεκεν, ἵν' ὅπως καὶ τὰς ἐπὶ τούτοις αἰτίας προσαποδοθείημεν τῷ λόγῳ. Ἐλάττω τοίνυν φέρεται διὰ ξηρότητα τροφῆς καὶ ὀλιγοποσίαν, γυμνάσιά τε πλείω, καὶ ὅσα ξηραίνειν εἴωθε τὰ σώματα. Ἐπεὶ τοίνυν ἴσμεν, ὡς ταῖς μὲν ξηροτέραις τροφαῖς ἡ διὰ γαστρὸς μᾶλλον ἁρμόζει ἔκκρισις, τότε δὲ καὶ τὸ θερμὸν αὐτὸ τῆς ὑγρότητος τοῦ σώματος κατ' ἰσχὺν ἀναλοῖ ξηραῖνον, εἰκότως ἐπὶ τούτοις καὶ τὰ οὖρα ὀφθείη μείω, μὴ ἀρκοῦντος τοῦ ὑγροῦ πρὸς πανταχῇ τοῦ σώματος ἄδειαν τῶν ἰσχναινόντων ὥσπερ ἀφαιρουμένων αὐτοῦ τὴν ποσότητα, ἐλάττω δ' ἂν ὀφθείη, καὶ διὰ φάρμακά τε καὶ τὰς τροφὰς ἐμπλαστικὰς τοὺς πόρους ἀποκλείσαντας. Ἐνταῦθα γὰρ οὔτε ἀνάδοσις ῥᾳδία γένοιτ' ἄν, οὔτε γεγονυίας τ' ἀναδοθέντα ῥᾳδίως διακριθείη, ὥστε συμβαίνειν ὥστε μηδ' ἄνδιαν, ἀλλὰ δι' οἷον ἔμφραξιν τὰ οὖρα μείω φέρεσθαι, τὰ παραπλήσια δ' ἂν συμβαίνοι διὰ πάχος καὶ γλισχρότητα τῶν χυμῶν, οὐχ ἧττον τῶν ἐμπλαστικῶν τροφῶν τε καὶ φαρμάκων, καὶ τούτων ἐμφραττόντων τὰς προσηκούσας ἐξόδους, ὡς αὐτὸς μὲν συμβαίνει τοσαύ- πλήθειν ὑγρότητα, μείω δ' αὐτὸς προσιέσθαι τοῦ δέοντος. Ἃ δὴ διὰ γαστρὸς πλείω κένωσιν ἐλάττω φαίνεται, προσδηλοῦσι ὑποδείκνυσιν τὰς αἰτίας· Μήτε δυνάμεως ὥστε ἀναδόσεως γινομένης, καὶ τοῦ πλείονος ἐπὶ γαστέρα τὴν ὁρμὴν ἤδη εἰληφότος· χοανὰ μὲν γὰρ τῇ φύσει τὸ πᾶν ἀποκενοῦσθαι τῶν περιττωμάτων, διὰ τῶν συνήθων πόρων. Ἀεὶ δὲ τύχης πλεονεκτήσαντος ἑτέρου ἑτέρῳ πόρος ἐπὶ θατέρου τοὔλαττον φέρεται. Ἐπὶ δὲ τούτοις καὶ διὰ σφοδρότητα πυρετοῦ ἐλάττω φέρεται τὰ οὖρα, καίτοι πλείω τοῦ συνήθους τοῦ κάμνοντος πίνοντος· καὶ οὐδὲν ἀπεικός· εἰ σφοδρότητα διακαυματικὸς ὁ πυρετὸς ἅπασαν ἐμφερομένην ἀποδαπανᾷ τοῦ σώματος ὑγρότητα περιττὴν ἔτυχε καὶ σημαντῆς ἔσθ' ὅτε, καὶ τῶν ξηρῶν αὐτῶν χρονίας ἀπολαύει; ἅθ' ἤδη τῶν νεφρῶν μόνων, ἢ τῶν λοιπῶν οὐρητικῶν ἀγγείων, μείω φαίνεται, ἢ καὶ τῆς τοῦ σύμπαντος ἀποκριτικῆς δυνάμεως ἠτονηκυίας πρόδηλον μὲν τὴν αἰτίαν ἔχει, ὡς ἤδη διά τινα δυσκρασίαν ἢ πάθος ὀργανικὸν γίνεται. Ὁ δὲ τὴν περὶ αἰτίας νοσημάτων βιβλίων ἀνεγνωκώς, γνοίη ἂν ἐκεῖθεν μαθὼν ἀσφαλέστερον. Καὶ ὁ μὲν περὶ ποσότητος οὔρων λόγος ἀρκέσας εἰληφὼς αἰτίας, τέλει καὶ πεπαύσθω. Λειπόμενον δ' ἂν εἴη καὶ τὰς ἐπὶ τοῖς χρώμασιν αἰτίας ἐπιθεῖναι, καὶ μετὰ ταύτας, τὰς ἐπὶ τοῖς πα-

ρυφισταμένοις,

-ρισσομένοις, ἵνα δὴ τέλεον ἀποδεδειχθέντος τοῦ λόγου καὶ τῶν ἐπὶ τέλεσι ἀναπτυχθησομένων αἰτιῶν, ῥᾳδίως μὲν ἅπαξ πιστεύσαι ταῖς ῥηθείσαις διαγνώσεσιν, προχείρως δ' ἔχειν τε καὶ λέγειν καὶ πράττειν τὰ ἐπὶ τέλους δέοντα. Ὁ γὰρ οἶμαι τοὺς λόγους ἀγνοήσας τῶν γινομένων οὔτ' ἂν ῥᾳδίως πιστεύσῃ ταῖς διαγνώσεσιν, οὔτε πιστεύσας ἀντέχοι, κατασεισθεὶς ὑφ' ἑτέρων λόγων. Ταῦτά τοι καὶ αἰτίαι οὕτω γενήσεται φανεῖσαι τῇ περὶ οὔρων πραγματείᾳ, ἤδη καὶ λεγέσθω. Ὧδε οὖν προοίμιον τῶν περὶ αἰτίας χρωμάτων λόγων ἀπήρτισται.

Κεφ. ε.

Περὶ τῆς κατὰ τὰ λευκὰ τῶν χρωμάτων αἰτίας.

Καὶ δὴ περὶ λευκῶν πρῶτον εἰπόντα, καθὼς κἀν τοῖς περὶ διαφορᾶς τε καὶ διαγνώσεως οὔρων λόγοις ἐφθήκαμεν εἰρηκότες, οὕτω κατὰ τὰ λοιπὰ τῶν χρωμάτων πράξομεν τὸν λόγον, τὴν ἐπ' ἐκείνοις τάξιν κἀνταῦθα φυλάττοντες, καὶ γοῦν καθάπερ ὁ λόγος πρῶτον ἔδειξεν τῆς ἀκριβοῦς τε καὶ συμμέτρου [illegible] τῆς πέψεως γεγονυίας πέψεώς τε καὶ διακρίσεως καὶ τοῦτο μὲν γάλακτι ὁμοίως δεδευμένου χυμοῦ τῷ πλεονεκτοῦντι, ὡς μὴ ῥᾳδίαν τέως τὴν ἀνάδοσιν ἔχοντος: τοῦ δ' ὀρροῦ συμμεταφερομένου τῷ αἵματι, δι' ἧς ἔφαμεν χρείας τῆς ἐπιτροχάδην τὸ μὲν πλέον, καὶ μικροῦ δεῖν ἅπαν ἐκεῖ που περὶ τὴν χοληδόχον κύστιν ἀθροιζόμενον φαίνεσθαι, συνάγουσι δὲ τὸ μέρος τοῦτο καὶ τῷ αἵματι, τῷ δὲ λεπτομερεῖ τάχιον εἰς ἀνάδοσιν, τῷ τε λυσιτελεῖ τῷ ὀρρῷ τῆς τοῦ αἵματος διόδῳ. Τῷ γὰρ δαπανᾶσθαι ποιότητι, τὴν ἀποκριτικὴν ἐρεθίζον δύναμιν, συνεξίσοι μὲν τῷ οὔρῳ. ἤδη φανεῖν ἀχροίαν τῇ ὄψει παρέχει. Χρῶμα δὲ χαρίζεται μικρὸν τῷ χύματι, οἷόν περ ὁ λόγος καὶ ἡ αἴσθησις οἶδε τὸ σύμμετρον. Τοσοῦτο μάλιστα κοινωνοῦντα αἵματος ἐμφάσεως τῶν οὔρων τὰ χρώματα, ὅσον περ καὶ τὸ λαμπρὸν ὑπογαλα τοῖς χρώμασιν ἀκτινοβολοῦν. Τοῦ γάρ τοι τοῦ αἵματος τοῦτ' εἶναι τοῖς ἐν εἴδει καίνεσιν πιστεύεται. Ἀλλ' ὁ μὲν περὶ συμμέτρου λόγος, τοιοῦτος. Ἐπεὶ δ' αἰτίας πλεονάζειν τε καὶ ἐλλείπειν τῆς τοιᾶσδε ξανθοχόλου χυμὸν ἐξευρεῖν δεῖ, τί καὶ καταχρώννυται δι' ἃς τινας αἰτίας, ἀκολούθως κατὰ τὰς ἐπ' αὐτοῖς γεγονυίας διαφοράς, διάφορά τε καὶ τὰ τῶν οὔρων χρώματα φανεῖται. Ἐπεὶ

τοίνυν τῶν ~

τοίνυν τῶν λευκῶν χρωμάτων, καὶ μάλισθ' ὅταν κοιλαινόμενα τε καὶ ὑδατώδη, ἤδη παντελῶς τις ἂν ἀπορίαν διὰ ψυχρότητος καταγνοίη τῆς φύσεως, ἢ ἔμφραξιν μεγίστην τῶν ἄνω μάλιστα διακονούντων πόρων, ἢ καὶ τῆς χολῆς αὐτῆς χρωννυούσης ἐπ' ἄλλα μέρη τοῦ σώματος κατοχέτευσιν. Ὅσα δ' ὑφαιμάτην δείκνυσι τὴν λευκότητα, καὶ μᾶλλον ἤδη πρὸς τὰ γλαυκὰ καὶ χαρωπὰ τῶν χρωμάτων χωρεῖν, διὰ μὲν μαλάξιν, οὐκ ἂν ῥᾳδίως γένοιτο τοῦ πυρροχόλου χυμοῦ, δι' ἀτονίαν δὲ τῆς τ' ἀλλοιώσεως καὶ πέψεως τῆς χυμικῆς δυνάμεως· καὶ πᾶς τις ἂν νοῦν ἔχων ὁμολογήσειεν.

Κεφ. 5.

Πρὸς τοὺς ὑφ' αἵματος φάσκοντας τὰ οὖρα πάντοτε χρώννυσθαι.

Ἐπεὶ δέ τινας ὑφ' αἵματος τὰ οὖρα κεχρῶσθαι οἴεσθαι, πρὸς αὐτοὺς βραχύ τι λέξωμεν, τὴν σφῶν ἀπάτην ἀνακαθαίροντες. Τὴν φύσιν ἴσμεν μηδέποθ' ἡμετέρων ἐχόντων τῶν σωμάτων, καὶ μάλιστα ἐν συμμέτρῳ τῶν χυμῶν τυγχανόντων, ἐάν τινα τῶν τροφῶν εἰωθότων χυμῶν ἐκκρίνασθαι ἀεὶ, τροφῆς τοιαύτης δέουσαν. Ἄλογον πάντη. οἱ γὰρ ἄδηλοι, αἱ τόσα πρὸς τροφὴν μηχανωμένην τοῦ ζώου, καὶ ἀεὶ τοῦ πλήρους λειπομένην, ἄλογος οὕτως, οὐκ ὀλίγον αἷμα τοῖς οὔροις συνεκκρίνεσθαι. Ἔπειτα τοῦ αἵματος ἐρυθροῦ τῷ χρώματι τυγχάνοντος, ὑπολαύνει δὲ τοῦ οὔρου ἀεὶ οἷον ὑπέρυθρον τὸ κατὰ φύσιν οὖρον τυγχάνειν. Τοῦτο δὲ ἐοικὸς ἐλλείπεσθαι τοῦ ὑγιεινοῦ ὅσῳ καὶ τοῦ ἐρυθροῦ παρέχει χρώματος ἔμφασιν. Τί δ' ἂν ἐκώλυσεν ἀεὶ τοῦ αἵματος πλεῖον ὄντος μὴ πάντοτε τὰ οὖρα τοιαῦτα φαίνεσθαι, οἷα ὁ λόγος οἶδε σύμφωνα. Ἐπεὶ δ' οὐδὲ προσήκει τοῖς ξανθὴν ἀποφαίνουσι χολὴν τῷ σώματι, πλείω τοιαῦτα οὐκ ἐργάζεσθαι τοῖς ἐκείνως δοξάζουσιν, ὑφ' αἵματος ἔδει μᾶλλον ηὐξημένου χρώννυσθαι. Τοῦτο δὲ τοὐναντίον ἐστὶ, ἤπερ ἐκείνοις ἔπεισι δοξάζειν, καὶ πολλὰς ἂν ἴσως ἐμέσαιέν τε καὶ διαχωρήσαιεν χολάς, οἱ τοιαῦτ' οὐροῦντες οὖρα ἄθυρα τὸν νοῦν γυμνάζων, πείθοντα τὰ σύμπτωμα τῶν οὔρων καὶ τὰ προσοχῇ ὑπὸ ξανθῆς χολῆς, ἀλλ' οὐχ ὑφ' αἵματος χρώννυσθαι, εἰ δέ τινα καὶ ὑφ' αἵματος καὶ μελαγχολικοῦ χυμοῦ χρώννυται, ὃ μετ' ὀλίγον δείξει χρόνος. Ἐπεὶ δ' οἶδ' ὅστις καὶ μάλιστα χυμὸς τὰ οὖρα χρωννύων πέφυκεν, μεμάθηκας δέ, καὶ δι' ἃς οὐκ

ἐπιτήδειοι

ἐπιτίθησι τοῖς οὔροις χρώματα, λευκὰ δὲ ταῦτα παρέχει, ῥᾳδίως ἂν ἐντεῦθεν, καὶ τὰς ἐπὶ τοῖς λοι-
ποῖς χρωματουργίας γνοίης, τὴν τῶν χρωμάτων μέθοδον καταληψόμενος. Πλὴν ἀλλ' εἰ καθόπη
ἀμφιγνοεῖν τὸν λόγον, τὸ δὲ σαφὲς ἐν πᾶσιν καὶ ἀνεπτυγμένον, ἀσφαλέστερον εἰς διδασκαλίαν
καθέστηκεν, οὐδ' ἂν ἡμεῖς ἐάσαιμέν σε δυνᾶσθαι ὑφ' οἵων δή τινων προφάσεων, ἕκαστον τῶν πρώην
ἐν ἄλλοις ἀποδειχθέντων χρωμάτων ἀποδεικνύντας δι' ἅς τινας αἰτίας οὕτω πως κέχρωσται.
Πολλὰ γὰρ ἂν ἴσως, μὴ μαθὼν ἀγνοήσαις. Μετὰ τοίνυν τὰ λευκὰ τῶν χρωμάτων, τά τε
ὕπωχρα καὶ ὠχρὰ γινόμενα φαίνεται. τῆς ἀλλοιωτικῆς καὶ πεπτικῆς ἤδη τόνον λαβούσης
δυνάμεως. Ἐπεὶ τοίνυν, ὡς πολλάκις εἴρηται τοῦ χολώδους χυμοῦ ἐλλειπόντος πέψεως προση-
κούσης τὰ οὖρα φαίνεται λευκά. Ἀρχὴ δὲ χρωμάτων τὰ ὕπωχρα καὶ ὠχρὰ ἐπειδὰν ἄρτι
οἰκείαν πέψεως ἀρχὴν λαμβάνειν τὴν ἐπιδιδομένην τροφήν, καὶ ἤδη ζωπυρεῖσθαι φαίνεται τὴν ἔμ-
φυτον θερμότητα, καὶ πως μετρίως κρατεῖν τῆς ὕλης, ὡς ἂν μὴ ὁλοκλήρως, ἀλλ' οὐκ μέσως ν-
ῆφθαι τὴν φύσιν πέψεως. Ὁπόταν γὰρ ὁ ξανθόχολος χυμὸς ἀρκούντως κατασκευασθείη τῇ φύσει,
αὐτὸς μὲν οὐκ πέφυκε χρώματος, ἀπ' αὐτοῦ δὴ μαρτυρεῖ τοῦ ὀνόματος. Ἐπίτασιν δέ τινα εἰληφώς,
ἐνθερός τε καὶ ἰώδης, καὶ ἰσατώδης, πρασίζων τε καὶ ὑπέρμελας ἤδη πρὸς τὴν μέλαιναν χολὴν
μεθιστάμενος, φαίνεται. Ὥσπερ αὖθις ἀφιστάμενος τοῦ κατὰ φύσιν χρώματος, ὑπόξανθός τε καὶ
ὑπόπυρρος, ὠχρὸς δὲ καὶ ὕπωχρος, καὶ ἐπὶ τούτου φαυλότερος. Ἐπεὶ δὲ ταῦθ' οὕτως ἔχει, συν-
αγαγεῖν ὧδε τὸν λόγον προσήκει. Ὁπόταν σύμμετρος καὶ ὡς προσήκει πέψις γένηται, ξανθή τε
καὶ πυῤῥὰ τελεῖται ἡ χολή, τὰ δ' οὖρα ὑπόξανθά τε, καὶ ὑπόπυῤῥα, τοῦ χρώματος ὥσθ' ἀμαυρωθέν-
τος τῆς χολῆς τῇ τοῦ ὀῤῥώδους χυμοῦ ἐπιμιξίᾳ: λευκοῦ πως καὶ αὐτοῦ τυγχάνοντος. Ὡς γ' ἂν ῥηθείη
τὰ τοιαῦτα τῶν συμμέτρων οὔρων χρώματα, ξανθοῦ τε καὶ λευκοῦ μίξει χρώματος, οὐκ ἂν σφαλῆς
οἶμαι τοῦ δέοντος.

Κεφ. ζ.
Περὶ αἰτίας ὑπώχρων καὶ ὠχρῶν παρυφισταμένων.

Τὰ τοίνυν ὕπωχρα, [ῥητέον γὰρ ὧδε καὶ περὶ τούτων] φαυλοτέραν ἴσως ἐπιμαρτυρήσαι τὴν ἀπὸ
τῆς χολῆς βαφὴν διαμαρτηθείσης, τῇ πέψει, δηλονότι. Καὶ πως στοχαζόμενον τινὰ βραχύτατα λη-

=θὺς διαπασῶν αὐτὸν οἶμαι, εἰ ταῖς αὐταῖς ἀναλογίαις κατὰ τῶν λοιπῶν χρωμάτων χρήσαιτο. Καὶ τὰ μὲν ὠχρὰ τῶν οὔρων ἂν τοῖς οὔροις φαινόμενα, ἐπιμιξίαν αὐτοῖς εἴποι ὑποξάνθου τε καὶ λευκοῦ χρώματος, τοῦ ἐξεργοῦ: ὥσπερ ἂν ὠχρᾶς τε καὶ ὀρροῦ τῶν οὔρων λέγεται τὰ ὑπόχρα, δι' οἵαν δή τινα τῆς πέψεως ἁμαρτίαν. Ἀλλ' ὁ μὲν περὶ ὠχρότητος οὔρων λόγος, τοιοῦτος ἂν ἀποδοθείη. νυνὶ δὲ καὶ περὶ τῶν λοιπῶν χρωμάτων εἴπωμεν, δι' ἃς ἕκαστον τούτων ἀποδίδοται αἰτίας, καὶ τὰ μὲν σύμμετρα τῶν οὔρων ἤδη προείρηται. Δι' οὕς δὲ τινας λόγους ὑπόπυρρά τε καὶ ὑπόξανθα ἀποδίδοται. Ἑξῆς δὲ λέγωμεν περί τε τῶν πυρρῶν καὶ τῶν ξανθῶν φαινομένων οὔρων.

Κεφ. η.
Περὶ Αἰτίας πυρρῶν καὶ ξανθῶν Οὔρων.

Τὰ τοίνυν τοιαῦτα ἂν τοῖς οὔροις χρώματα αὐτὸν δὴ τὸν χολώδη χυμὸν ἢ τῇ ποσότητι ἢ τῇ ποιότητι ἐπιπολάζοντα δίδωσιν εἰδέναι, πρός τε τὸν ἀκρότερον κεχωρηκότα, καὶ δριμύτερον. Ὁπόταν γὰρ ὑπὲρ τὸ ξανθόν τε καὶ πυρρὸν, ἡ τῆς χολῆς χροιὰ προίῃ, τὰ δηλωθέντα τῶν οὔρων φαίνεται τῇ ἀναλόγῳ μίξει τῶν χροιῶν διαφόρων.

Κεφ. θ.
Περὶ Αἰτίας ὑπερύθρων καὶ ἐρυθρῶν Οὔρων.

Τά γε μὴν ὑπέρυθρα καὶ ἐρυθρὰ τῶν οὔρων, ἤτοι δι' ἐπιμιξίαν ἐρυθρᾶς χολῆς γίνεται, ἤτοι ἰχῶρα αἵματος ἐκεῖ πρὸς τὴν ὁρμὴν ἀπαιτῆσθαι τῆς ἐκκρίσεως. Ὅτι δὲ καὶ ἐρυθρὰ χολὴ ἐνίοτε διαφαίνεται, ἔξεστι μὲν καὶ ἰατρῶν αὐτῶν πυθέσθαι: ἐγώ τε πολλάκις εἶδον χολὴν τοιαύτην, ὥσπερ δὲ καί τινας προσβραχέος χρόνου πυρέσσοντας: ὥσπερ ἡ γαστὴρ ὑπέρυθρα διεχώρησεν, ἡ κύστις δὲ τὰ παραπλήσια διεφαίνετο. Καὶ οὐ δεῖ τὸν ἐπὶ τούτοις λόγον ἁπλῶς μηκύνειν, ἤδη γνώριμον παρόντα. Ἐκεῖνα δὲ μᾶλλον εἰπεῖν πρόσεισι, ὅσα δι' αἵματος ἰχωρώδους ἐπιγεγενημένην αὔξησιν τοιαῦτα φαίνεται. Ἐπὰν οὖν πλεονάσαν τὸ αἷμα μὴ ῥᾳδίως ὑπὸ τοῦ φυσικοῦ τούτου διαπνέηται

πνεύματος ἢ

πνεύματος. Στενοχωρουμένων οἷον τῶν ἀγγείων τῷ πλήθει, ἰχώρ τις ἐπιγίνεται τῷ αἵματι. Οἷόν τι καὶ ἐπὶ τῶν ἐπινεφελῶν ὑγρῶν τινὸς ἐπικοινωνουμένου γίνεται παρεῖσθαι πρὸς σῆψιν ἤδη κεκινημένων, ὃ καί τι αὐτῶν μὲν παρὰ τοῖς γραμματικοῖς καλούμενον· ὀμίχλη δὲ παρὰ τοῖς κοινολογοῦσι. Τὰ τοιαῦτα, παρατροπῆς μὲν σύμβολον τῆς οἵας δή τινος αἰτίας πέφυκεν, ὅσον δ' οὔπω παραγεγενημένης σῆψιν σημαίνει. Καὶ τοίνυν κατὰ τῶν ὑπερύθρων οὔρων, ἰχὼρ μέν τις τῷ αἵματι ἐπιγεγενημένος διαφαίνεται, οἷόν τι καὶ τοῖς ὀστρακίοις φαινομένοις ὑγροτέροις σώμασιν ἡ ὁμίχλη, διὰ δίδοσθαι δ' ἐπὶ τὴν ἔκκρισιν τῇ ἀποκριτικῇ δυνάμει τοῦτο ἀποθέμενον. Ἐπεὶ γὰρ ἐρυθροῦ χρώματος μετέσχηκεν ὁ ἰχὼρ [αἷμα γὰρ οἷον οὗτος διαφθαρὲν] πάντως ἂν ἑνωθεὶς τῷ ὀῤῥώδει χυμῷ, τό, τε αὐτοῦ χρῶμα ἀλλοιώσει μεταβάλλων πρὸς τὸ σαθρότερον, ἀλλάξεται δὲ τῆς ἀντ' αὐτοῦ ἐρυθρότητος, τῷ ἐξυδατωθῆναι οἷον ταύτην τῇ τοῦ ὀῤῥώδους κράσει χυμοῦ. Οὐ δεῖ δὲ λανθάνειν, ὡς κἄν τι ὀῤῥῶδες χυμοῦ χρωματίζον τὸ οὖρον, καὶ ἔτι ἀμαυροῦται τῇ τοῦ ὑπερβάλλοντα αὐτὰ ποσῷ καὶ χρώματι κράσει. Καὶ ὑπέρυθρα μὲν διὰ ταύτας ἂν ἀποδοθείη τὰς αἰτίας.

Ἐρυθρὰ δ' ἂν εἴη ἤτοι δι' ὑπερβάλλον πλῆθος χολῆς ἐρυθρᾶς ἢ δι' ἰχῶρα πλείονα τοῦ αἵματος ἐν τοῖς οὔροις τὴν ἐρυθρὰν αὐτῶν πᾶσαν. Τῷ γὰρ πλήθει ταῦτα ἐπικρατήσαντα, βραχύ τι διαφαίνεσθαι ἐῶσι τὴν τοῦ ὀῤῥώδους ἐπιμιξίαν χρώματος. Ὁπόταν μέντοι ἀκριβῶς ἐρυθρὰ εἴη καὶ φοινικᾶ τὰ οὖρα, αἵματος πολλοῦ ἐπιρρυέντος, ὑποδείκνυται τοιαῦτα, ἤτοι φλεβός τινος ῥαγείσης τῶν περὶ τὰ οὐρητικὰ ἀγγεῖα, ἢ τῶν συνεληλυθότων περὶ τοὺς νεφροὺς τὰ οὖρα ἀγγείων, χαύνωσίς τις, καὶ ὑπὲρ τὸ δέον ἀραίωσις. Ὥστε συμβαίνειν ἐνίοτε καὶ τῆς τοῦ αἵματος οὐσίας συνεκκρίνεσθαι ὀλίγον σὺν τοῖς οὔροις φαίνεσθαι, καὶ χρωννύειν οὕτω τὰ τὰ οὖρα. Ἀλλ' ὁ μὲν περὶ αἵματος ἄλλως μὲν ἐπιτήδειος ἂν, πάρεργος δὲ νῦν εἰρήσθω. Περὶ γὰρ οὔρων ἡμῖν, ἀλλ' οὐ περὶ ἀνουρουμένων αἱμάτων εἰπεῖν προυθέμεθα, τὰ νῦν ἀφείσθω. Ἑξῆς δὲ ῥητέον περὶ τοῦ οἰνωποῦ καλουμένου χρώματος, καὶ ὅσα μετὰ τοῦτο πέφυκεν.

Κεφ. Ι.
Περὶ αἰτίας οὔρων οἰνωπῶν.

Ὁποῖον μὲν αὐτὸ πέφυκεν τὸ οἰνωπὸν καλούμενον χρῶμα ἐν τοῖς περὶ διαφορᾶς οὔρων

ἐφ' εἴρηκα

ἔφθημεν εἰρηκότες, ὅτι δὲ σημαίνει ἐν τοῖς περὶ Διαγνώσεως εἴρηται. νῦν δ' ἐπιθῶμεν
τῷ λόγῳ, καὶ τὰς αἰτίας ἀφ' ἃς τοῦτο γίνεται. Ἐπὶ μὲν οὖν τῶν πολλὰ δραμόντων ἢ
κεκοπιακότων, συμβαίη ἂν διὰ ὑπερόπτησιν τοῦ αἵματος. Ἐπειδὰν γὰρ ἡ συνεχὴς καὶ
σύντονος κίνησις τὸ αἷμα διαθερμαίνῃ, καὶ τοῦ προσήκοντος πλέον ἐξεκαύσατο καὶ τὴν
θρεφθῆναι ἐν τοῖς συνηθικοῖς ἀγγείοις ἀπείποιεν. καὶ τῇ ἀνάσει ἀμφοτέρων τὸ οἰνωπὸν τοῦ
χρώματος γέγονεν. Καὶ οὐδὲν ἂν δόξῃ παράδοξον ὅπουγε καὶ θρόμβοι αἵματος διαδίδονται,
εἰς τὴν ἐπιφάνειαν ἐκδεχόμενοι κόποι τε καὶ ἡλιοκαΐαι ἐνίοτε τὸν ἄνθρωπον ἐπισχόν-
των. Ἐγώ γε μὲν ἐπί τινος μειράκιος τοιοῦτόν τι μεμνῆμαι ἰδών. ἀφικόμεθά ποτε
περὶ κυνὸς ἐπιτολὴν ἐκτὸς τῆς πόλεως ἐπί τινα πανήγυριν προσκυνήσοντες μὲν, καὶ
τὸν ἐκεῖσε ἅγιον διαφερόντως τιμώμενον· ἐνδιατρίψοντες δὲ καὶ τοῖς ἐκεῖσε χαρίτός τινος
γέμουσιν. Καὶ οὔπω μὲν τὸ τρίτον τῆς ἡμέρας παρῴχηκει, καὶ ἡμεῖς ἐκεῖσε παραγε-
γόνειμεν. καὶ τὰς εὐχὰς ἀποδεδωκότες, καὶ μικρόν τι προσδιατρίψαντες, ἐπεὶ καὶ μεσημ-
βρίαν ἢ ἤδη νόσου τε ἐκινήσθημεν, καὶ τῷ ἡλίῳ συγκαόμενοι δείλης ὀψίας περὶ τὰς
οἰκίας ἀφικόμεθα, μέγιστον τὸν δι' ἐκείνης ὑποστάμενοι τῆς ἡμέρας κόπον. Τὸ, τε γὰρ
μὴ ἔθος ἔχειν ἡμᾶς ἔτι προσταλαιπωρεῖν ὁδῷ, καὶ καύματι, τό, τε ἀπαλωτέρων τυχεῖν
σωμάτων, οὐ μετρίως ἡμῶν ὁ καύσων καθίκετο. Ἀλλ' ἐγὼ μὲν τότε δὴ τότε τῆς ἀπ' ἐ-
κείνης βλάβης ἀπηλλαττόμην· ὁ δὲ ἕτερος τῶν σὺν ἡμῖν ἀφιγμένων, μάλα καθαρός τι
ὢν, καὶ εὐπαθέστερος, ἐλεύθερος μὲν καὶ αὐτὸς ὡς ἐδόκει ἐτύγχανε τῆς ἀφ' ὁδοῦ βλά-
βης. Ἡ δὲ ἐπιοῦσα ἔδειξεν αὐτὸν μεταλαχόντα τινὸς ἐκ τῆς ὁδοῦ βλάβης, ἐπεὶ γὰρ
αὐτὸν ἡ γαστὴρ ἤνυξεν, ἐζήτει μὲν εἰς λάσανον, ὑπόμελαν δέ οἱ ἡ γαστὴρ ὑπεχώρη-
σεν. Τοῦτ' ἰδὼν ἐκεῖνος ἐπτοήθη, καὶ ἐμοὶ τὸ πάθος ἐξήγγειλεν, καὶ ἐπυνθάνετο
ὅ, τι ἂν ἡ τοσαύτη βούλοιτο τοῦ διαχωρήματος μεταβολή. Εἰδὼς οὖν ἐκεῖνον αἱμορροΐζ-
όμενον μὲν συνεχῶς τέμνειν φλέβα, πολλοῦ δὲ τοῦ χρόνου παραρρυέντος, μὴ χρησάμενον
τῷ ἔθει, καὶ ἄλλως δὲ θερμὸν καὶ εὐπαθῆ γινώσκων τὸν ἄνθρωπον, προσεπιβλέψας
δὲ καὶ τὸν χθιζὸν περίπατον, ἔγνων δὴ τότε ἀκριβῶς ὑπεροπτηθέντος τοῦ αἵματος κατὰ
τὴν ἐκτὸς τῶν φλεβῶν ἐπιφάνειαν καὶ συγκαέντος εἶθ' οὕτως ἀνακλασθέντος ἐπὶ

γαστέρα.

γαστέρα, καὶ ἀνακραθέντος τῷ ἀποπάτῳ, καὶ συνεκκριθέντος τῇ κατ' ἐκείνην, τοιοῦτον φανεῖται εἶδος διαχωρήματος. Ἐντεῦθεν αὖ καὶ περὶ τῶν οἰνωπῶν συλλογισάμενος οὔρων, τὰς αὐτὰς κἀνταῦθα ὑπέβαλλον αἰτίας γίνεσθαι, καὶ δεῖ τῷ λόγῳ πιστεύειν τὸν σπουδαῖον. Καὶ ταῦτα μὲν ἀφ' ὑγιεινῶν καὶ λέγεται καὶ φαίνεται. Ἐπὶ δὲ τῶν πυρωδεῖς καλουμένων οὐ μετρίοις, τὸν μὲν ἰχῶρα πλεονάζειν ὑπὸ δείκνυσιν τοῦ αἵματος, ὀπτηθῆ δὲ αὐτὸν ἤδη καὶ συγκαυθῆ, καὶ πρὸς ξανθῆς χολῆς εἶδος ταῦτα μεθίσταται, ταῦτά τοι καὶ ἀμφοτέρων μέν τοι χυμῶν τὰς ἀμοιβαῖς τῶν χρωμάτων ἀποπέ-φυγαν ἰδέας, μηδὲν εἰς τέλος ἴδιον· Τὸ δ' οἰνωπὸν οὕτω καλούμενον κατακαύσει χρῶμα μεταβεβλημένου τοῦ αἵματος εἰς χολήν. Καὶ ὁ μὲν περὶ οἰνωποῦ χρώματος λόγος οὕτω πως ἀποδέδοται.

Κεφ. ια.
Περὶ αἰτίας οὔρων κυανῶν.

Τὸ δὲ κυανοῦν ἔτι πορρώτερον τοῦ συμμέτρου πεπτωκὸς χρώματος, καὶ μείζονος τετύχηκεν ἀλλοιώσεως. Τῆς γάρ τοι ξανθῆς χολῆς συμμέτρου μὲν γεγονυίας, σύμμετρ' ἂν τὰ οὖρα προβαίη. Καθ' ὅσον δ' ἂν αὐτὴ ἀλλοία τοῦ προσήκοντος αὐξάνεσθαι γένηται, καὶ τὰ οὖρα δείκνυσι μεταβαλλόμενα. Καὶ δὴ τῆς τοιαύτης ἐξοπτημένης ξανθῆς χολῆς, καὶ ἰῶδες ἤδη γεγενημένης, καὶ βραχείας τινὸς τῆς ῥοπῆς δεομένης εἰς τὴν τοῦ μελαγχολικοῦ χυμοῦ ἰδέαν, καὶ διαδραμούσης τὸ φλεβῶδες γένος, τὰ κυανᾶ τοῦ χρώματος ἀποδίδοται.

Κεφ. ιβ.
Περὶ Αἰτίας οὔρων χλωρῶν.

Τῶν δὲ χλωρῶν οὕτω καλουμένων χρωμάτων, ὅσα μὲν διὰ τηκεδόνα γίνεται τῆς πιμελῆς, διαφανέστερά τε καὶ πρὸς τὸ ἐλαιῶδες χρῶμα διασκευάζεται. Γίνεται δὲ ταῦτα, δι' ἐπιμιξίαν τοῦ ἀπὸ πιμελῆς συντήγματος ἐλαιώδους ἤδη γεγονότος διὰ τὸ τοῦ πυρετοῦ πύριον. Ὅσα δ' αὖ πρὸς τὸ μελάντερον ἀπορρέπει σκιαυγῆ μὲν καὶ χλωρίζοντα, πλῆθος ὑποφαίνει τῆς ἰώδους [ἤδη γεγονότος] τε καὶ ἰσατώδους οὕτω καλουμένης χολῆς. Πάνυ μὲν γὰρ αὗται χλωραί, βραχείας τινὸς μεταβολῆς δεόμεναι πρός γε τὸ με-

λαγχολικὸν

μελαγχολικὸν εἶδος. Ἐνταῦθα γὰρ τὰ μέλανα γίνεται τῶν χρωμάτων. Καὶ χλωρὸν μὲν ὡς εἴρηται δι᾽ ὑπε-
ρκράτησιν αἰσχίστην γίνεται χολῆς, κατά τε τὸ ποσὸν καὶ τὸ ποιὸν ἐπαυξηθείσης, ἤδη δὲ καὶ πρὸς ἕτερόν τι
ἐκτετραμμένης εἶδος χολῆς.

Κεφ. ιγ΄.
Περὶ αἰτίας φαιῶν καὶ πελιδνῶν οὔρων.

Τὰ δὲ φαιὰ καὶ πελιδνὰ καὶ μέλανα διά τε ψύξιν καὶ χυμὸν γινόμενα μέλανα, τῇ μὲν διαφορᾷ τῇ πρὸς ἄλλη-
λα, καὶ τὴν ποσότητά τε καὶ ποιότητα δείκνυσιν, τῶν τὰ τοιαῦτα χρωννύντων χυμῶν, τὴν ἐναντιότητα δὲ τῇ ὁμοιό-
τητι. Ἑνός τε γὰρ εἴδους κεκοινωνήκασι χρώματος, καὶ ἐν ὀλίγην ἔσχον τὴν πρὸς ἄλληλα διαφορὰν, τῇ ἐπιτάσει
τε καὶ ὑφέσει τοῦ χρώματος. Πλὴν οὐδ᾽ ἀεὶ ταῖς αὐταῖς τὰ πάντα γίνεται αἰτίαις, ἀλλὰ καὶ ὡς ἑτέρως. Τὰ μὲν
γὰρ φαιὰ διὰ θερμότητα οὐκ ἂν οἶμαι τοιαῦτα γένοιτ᾽ ἄν, ὥσπερ οὐδὲ τὰ πελιδνά, ἀλλ᾽ ὅτε μὲν διὰ ψυχρότητα, ὅτε δ᾽
αὖ διὰ χυμόν τινα μέλανα. Τὰ δέ γε πελιδνὰ καὶ τῶν φαιῶν πεπλεονεκτήκασι, τῷ καὶ διὰ πληγὰς ἐνί-
οτε καὶ μάστιγας ἐπιτεθείσας τῷ ἀνθρώπῳ γίνεσθαι. Τὰ μέλανα δὲ τῶν χρωμάτων καὶ διὰ ψυχρότητα
ἐπιταθεῖσαν πάνυ, καὶ διὰ ὑπερβολὴν θερμότητος, ἐπιρροήν τε χυμοῦ τοῦ μέλανος, καὶ νέκρωσιν ἐσχάτην.
Καὶ ταῦτα μὲν κἂν τοῖς περὶ διαγνώσεως ὡς οἶμαι εἴρηται. Νῦν δ᾽ ἐπιθήσομεν καὶ τὰ αὐτοῖς ὀνομα-
ζομένας ἁρμόζειν αἰτίας. Τὰ μὲν οὖν πελιδνὰ διὰ πληγὰς γινόμενα πολλὴν κατηγορεῖ τοῦ αἵματος
τὴν νέκρωσιν γεγονέναι. Τῶν γὰρ πληγῶν διασπασῶν καὶ νεκρωσασῶν τὸ αἷμα, ὡς ὑπομέλαν τι
εἰωθὸς μεταχωρεῖν νενεκρωμένον τὸ αἷμα, ἐπεί ποτε τῇ ἀποκριτικῇ δυνάμει, τοῦτο διὰ γαστρὸς ἐκθλίβειν
καὶ τῶν οὔρων, τοιαῦτα καὶ τὰ οὖρα δείκνυσιν καὶ τὰ διαχωρήματα. Ἐνίοτε δ᾽ ἐφ᾽ ἑνὶ τῶν πόρων τὴν ὁρ-
μὴν λαβὸν, τὸν ἕτερον ἀφῆκε. Καὶ δεῖ καὶ τοῦτο τῷ λόγῳ σημειοῦσθαι. Ἃ γὰρ οὐκ ἔσχε δεῖξαι τὰ οὖρα,
ἡ γαστὴρ διαχωροῦσα ἔδειξεν, ὥσπερ καὶ τοὔμπαλιν, ἃ μὴ ἡ γαστὴρ δεικνύειν ἔτυχε ταῦτα τὰ οὖρα
δείκνυσι. Καί ποτε αὐτὸς λευκά τε καὶ λεπτὰ τεθεαμένος οὖρα χολώδη πάνυ εἶδον διαχωρή-
ματα. Ὥσπερ καὶ τὰ λευκὰ διαχωρούσης ἄλλοτε γαστρὸς οὐκ ὀλίγην εἶναι τὴν χολὴν τῷ σώματι τὰ
οὖρα ὑπεδείκνυσιν. Ἀλλὰ τοῦτο μὲν τοῦ διαγνωστικοῦ μᾶλλον μέρος ὂν, ἂν ἐκείνῳ δὲ καὶ λελέχθω.
Ἡμεῖς δὲ τῶν ἑξῆς ἐχόμενοι λέγωμεν.

Τὰ τοίνυν φαιὰ καὶ πελιδνὰ, καὶ μέλανα, κατηγοροῦσι μὲν αὐτῶν καὶ τὴν χολὴν ὡς χρώσασαν τὴν

μέλαιναν,

μέλαινα, προσεπιμαρτυρεῖ δὲ καὶ ψύξιν καθάπερ καὶ θερμότητα, ἐπὶ μελάνων μάλιστα οὔρων. Ὅτι δὲ ψύξις εἴωθε μελαίνειν τοὺς χυμοὺς, καθάπερ καὶ θερμότης ἄμετρος, μαθεῖν ἐστιν ὧδε. Ψύξις μὲν γὰρ τὸ συνάγειν τε καὶ πυκνοῦν, καθάπερ κἀπὶ τῶν νεφρῶν ἰδεῖν ἐστιν ἐσήμανα. Καθ' ὅσον γὰρ ἂν ταῦτα πύκνωσιν προσλαμβάνηται, καὶ μέλανα μᾶλλον διαφαίνεται, τοῦ διαφανοῦς ἀποχωροῦντος, ὅσον τῇ πυκνώσει. Οὐκ ἧττον γε μὴν καὶ διὰ νέκρωσιν ἐκ ψύξεως εἰώθασιν μελαίνεσθαι τὰ οὖρα, εἰκαῖον γάρ τι τοῦτο πέφυκεν τὸ χρῶμα τῶν νενεκρωμένων ἤδη σωμάτων. Ἐπεὶ γὰρ ἀντικεῖσθαι λέγεται ζωὴ θανάτῳ, πάντως ἂν ἀντιταθείη καὶ τὰ τοῖς ζῶσι τοῖς νεκρωθεῖσιν ἴδια, κατά τε εἴδη καὶ ποιότητας, καὶ χρώματα. Καὶ τοίνυν εἰ ὑπέρυθρά τε καὶ ὑπόπυρρα τοῖς ὑγιαίνουσιν ἀποδέδοται, εἴη ἂν ἀποδοθείη εἰκαιοτάτως τοῖς ἤδη νενεκρωμένοις. Εἰ μὴ τὰ μέλανα τὸ πάντων ἥκιστον ὡς πληρωσάμενα χρῶμα. Θερμότης γε μὴν εἴωθε μελαίνειν τὰ οὖρα, τὸ οἷον ἐξοπτᾶν τε καὶ συγκαίειν τὴν ἐν αὐτοῖς ὕλην, ὥσπερ ὄντα κἀπὶ τῶν ἀσβεσμένων φαίνεται. Καὶ γὰρ καὶ ταῦτα τῇ τοῦ πυρὸς ὑπερβολῇ διαμελαίνεται τῇ παρὰ σφίσιν οὔσῃ ὑγρότητι ταύτην παραδεξάμενα. Ἴδοις δ' ἂν ἐσημάρας, τοὺς μὲν πελιδνούς τε καὶ μέλανας, τὰ ἀκρωτήρια γεγονότας διὰ τὴν τῆς τοιαύτης ψύξεως ἐπικράτειαν. Τοὺς δ' ἄνθρακας οὕτω κεκαυμένους, ἤδη πονηρὰ ῥέποντας ἤδη πρὸς τὸ τοῦ χρώματος μελάντερον, τῇ τῆς θερμότητος ἀμετρίᾳ. Ἐγώ γε μὴν οὖν καὶ τοῦτον μέμνημαι ἰδὼν περὶ τὸ ἰατρεῖον θαμίζων. ᾗ κάτω ἄμετρα κομίζων ἂν ἢ φαινόντα καὶ ὑπόλευκον οὖρον ἐδείκνυτο. Ὁ γε μὴν τοῦτο οὐρήσας οὔτε ὀρθῶς βαίνειν ἴσχυε πολλοῦ συγκα

καὶ οὐ μετρίων ἤσθετο περὶ τοὺς νεφροὺς ἀλγηδόνων. Ἔφασκε δὲ πρότερον μετρίως πῶς ἀλγήσας τοὺς νεφροὺς, φλέβα τεμεῖν, καὶ ἱκανῶς ῥυῆναι τοῦ αἵματος. Ἐκεῖθεν δ' αἱ ὀδύναι ἐπὶ τὸ σφοδρότερον προσῆσαι, πονήρως οὕτω διέθηκαν τὸν ἄνθρωπον. Ἦν δ' ἄρα τότε χειμέριος μὲν ἡ ὥρα, τύχη δὲ ὄντι καὶ πλέον τοῦ προσήκοντος ἐσφοδρύνατο. Ἐγὼ μὲν οὖν ταῦτ' ἰδὼν καὶ πυθόμενος οὐ μετρίαν τινὰ τὴν ψύξιν καταστοχασάμενος τοῖς θερμοτέροις ἔφασκον αὐτὸν χρήσασθαι. Ὑμῖν δὲ θέμις τὰ τοιαῦτα σκέπτεσθαι καὶ μανθάνειν ἔχειν, ὡς ὑπερβολῇ ψυχρότητος τοιαῦτα πολλάκις οὖρα δείκνυσιν. Ἀλλ' ὁ μὲν περὶ αἰτίας χρωμάτων λόγος κεκούρευται οἶμαι ἱκανῶς, τοῖς τε ἐπὶ καὶ πανταχοῦ, καὶ ἄλλων ἐν τοῖς περὶ αἰτίας οὔρων τεθεωρημένων ζητημάτων, καὶ ἐς αὐτὰ τὸν λόγον ἀποστρεψόμενον. Τῶν μὲν οὖν καθ' ἕκαστα γινομένων ἀποδιδόναι τὰς αἰτίας μακροῦ τε οἶμαι δεήσει λόγου, καὶ μὴ πάνυ ὡς οἶμαι ἐπιτευξομένου ἀνπεράσιο τῶν κατὰ μέρος μήπω τινὶ διωρισμένων μέτρῳ καὶ ἀριθμῷ. Ἔπειτα δὲ καθολικωτέροις διορισμοῖς ὡς οἷόν τε ἦν τὰ γενικώτερα διωρισαμένοις καὶ τὰς ἐπ' αὐτοῖς ἀποδιδοῦσιν αἰτίας τὰ κατὰ

μέρος αὐτοῖς

μένος αὖθις ἐξετάζειν τῷ λόγῳ, περιττὸν ἂν ἴσως δόξειε, κειμένων ὥσπερ ἂν τοῖς καθολικοῖς ἐμπεριειλημμένων διορισμοῖς. Ἐπὶ τούτοις δὲ προσήκει τοῦ περὶ συστάσεως ἁψαμένους λόγου, καὶ τὰς ὑπὸ αὐτοῖς νομιζομένας ἀποδιδόναι αἰτίας. Δυοῖν τοίνυν οὔσαιν ταῖν δραστικαῖν τε καὶ ποιητικαῖν ἐν ποιότητοιν. Δυοῖν δ' αὖ ταῖν παθητικαῖν ἐφ' ἑκάτερον τούτων, ἤτοι ἐπικρατοῦσα, ἢ ἐπικρατουμένη, πέψις καὶ ἀπεψία γίνεται· ἀφ' ὧν δηλονότι καὶ τῶν συστάσεων τὰ εἴδη συνίστανται. Πέψις γάρ ἐστι [κατὰ τὸν εἰπόντα φιλόσοφον] τελείωσις ὑπὸ τοῦ φυσικοῦ καὶ οἰκείου θερμοῦ ἐκ τῶν ἀντικειμένων παθητικῶν, ταῦτα δέ ἐστιν ἡ οἰκεία ἑκάστῳ ὕλη. Ὅταν γὰρ πεφθῇ τετελείωταί τε καὶ γέγονε· καὶ ἡ ἀρχὴ τῆς τελειώσεως ὑπὸ θερμότητος οἰκείας συμβαίνει. Κἂν διά τινος τῶν ἐκτὸς βοηθείας συντελεσθῇ, τὸ δὲ τέλος εἰς οἰκεῖόν τι καὶ ὡρισμένον εἶδος τὴν ὕλην μεταφέρεται. Ἀπεψία δ' ἂν συμβαίη διὰ τἀναντία τούτων, τῷ μὴ δηλονότι τὴν ὕλην ἐπικρατεῖσθαι τῇ φυσικῇ θερμότητι. ἤτοι διὰ τὴν αὐτῆς ἢ μοχθηρίαν, ἢ ὑπερβολήν, ἢ καὶ τῆς ἐμφύτου, ἢ καὶ τῆς ἐμφύτου θερμότητος δι' οἵαν δή τινα ἐπικρατήσασαν δυσκρασίαν. Ἐπεὶ τοίνυν [εἰ συνελόντα με δεῖ φάναι] πέψις ἐστὶν ὑπὸ θερμότητος οἰκείας τῆς ἑκάστου ὕλης, εἰς οἰκεῖον τῷ ἐπιτελοῦντι ταύτην εἶδος ἐσχηματισμένη μεταβολή, δι' ἐπικράτειαν ἂν συμβαίη τῆς ἐμφύτου θερμότητος. Ὁποίαν γὰρ τῆς ὕλης ἕξεις συμμέτρου ἡ φυσικὴ ταύτης ἐπικράτησιν θερμότης, τοιαύτην πέψις κατὰ τὸν ἑαυτῆς ἀποδίδοται λόγον. Καὶ αἱ τῶν περιττωμάτων ἐκκρίσεις τὴν ἀναλόγως ἀπαιτουμένην ἀπολαμβάνουσι σύστασιν.

Κεφ. ΙΔ.

Περὶ αἰτίας τῶν κατὰ τὰ οὖρα συστάσεων.

Αἱ τοίνυν συστάσεις οὔρου σύμμετρος ἀποφαινομένη, καὶ τὴν πέψιν ἀρτίως ἐπιγεγονέναι δηλοῖ. Καθ' ὅσον δ' αὖ αὕτη τοῦ συμμέτρου λείποιτο καὶ τὰς πέψεις διημαρτῆσθαι τοῦ τελείου εἶναι δηλοῖ, καθ' οἷον δή τινα διαπεσούσας τρόπον. Ἐπεὶ δὲ τά τε λεπτὰ καὶ παχέα τῶν οὔρων, καὶ ὅσα δηλονότι τὴν σύμμετρον ἐκπεφευγότα σύστασιν φαίνεται, οἷον δή τινα μὲν ἀθρόαν εἴληφε σύστασιν, ἀπεψίαν δὲ κατηγορεῖ τῆς φύσεως, χρεὼν ἂν εἴη κατὰ τὴν ἀκολουθίαν ἀποδεδωκέναι, καὶ τὰς ἐπὶ τούτοις νομιζομένας αἰτίας. Ὅτι μὲν οὖν οἰκεία θερμότης ἐπικρατοῦσα τῶν εἰσαγομένων τροφῶν τε καὶ πομάτων, ἔτι τε τῶν ἐντὸς χυμῶν τὰς κατὰ λόγον πέψεις ἐργάζεσθαι πέφυκεν. Ἄν τι δὲ τύχη

διαμαρτοῦσα, καθ' ὅσον δή τινα λόγον ἀναλογία τις ἐπὶ τοῖς ἄλλοις γίνεται, ἤδη τις διάλλαξις. Καὶ τὰ μὲν πολλὰ τῶν οὔρων ἐπιφαινόμενα διαπαντὸς πλεονεξίαν τὴν ἔμφυτον τοῦ προσήκοντος ὑποφαίνει θερμότητα, ἤτοι δὲ τῆς καυματώδους ὑπό τινος ἀξιολόγου ψυχρότητος, ἢ τὸ τὴν νόθον καὶ φθαρτικὴν θερμότητα ὑφ' ἧς δή τινος ἀναγκαίας προφάσεως ἐπικρατεῖν τὴν ἔμφυτον ταύτην καὶ φυσικὴν θερμότητα ἀμαυροῦσθαί τε, καὶ τῆς οἰκείας ἐνεργείας ἀπαιωρεῖσθαι. Ὅτι δὴ τοῦθ' οὕτως ἔχει, μαθεῖν ἔστι κἀκ τῶν ἑψομένων ἀδασμάτων. Ἧττον γὰρ ἕψεται ἃ ἂν τύχῃ ἐν ἡλίῳ βάλλοντι σφοδρότερον ἑψόμενα ὑπὸ πυρὸς, ἢ ἅπερ ὑπὸ σκιερῷ καὶ ἀνηλίῳ τόπῳ. Ὥσπερ οὖν καὶ ἃ ἂν τύχοι ὑπὸ κρυμώδους πάνυ τοῦ καταστήματος ἑψόμενα ἧττον ἕψεται τῶν ὑπὸ θαλπωρῇ τῆς περιέχοντος καταστάσεως. Ἐκεῖ μὲν γὰρ ἡ τοῦ ἡλίου τὴν τοῦ πυρὸς ἐξαλλοιουμένην θερμότητα, ὧδε δ' αὖ ἡ τοῦ σφοδροῦ ψύχους δύναμις τῇ τοῦ πυρὸς θερμότητι πολεμοῦσα, ἧττον τὰ ἐν τοῖς ἑψόμενα παρασκευάζουσιν ἕψεσθαι, τῶν ἐν μὴ τοιούτοις ἑψομένων· ἅτε μηδενὸς ἐμποδὼν τυγχάνοντος, ὥστε καὶ συμβαίνει ἂν ἐνταῦθα, ἄνεσθαι θᾶττον τὰ ὄψα. Ἔτι δέ τὰ ἐν ὑπαίθρῳ ξύλῳ καὶ καύσωνι καὶ κρυμῷ ἑψόμενα καθ' ὃν ἂν χρόνον ἕψηται τὰ ὑποστεγώδη καὶ θερμοτέρῳ οἴκῳ. Μάθοις δ' ἂν τοῦτο κἀκ τοῦ λύχνου. Ἐπειδὰν γὰρ μικρὸν μείζω λύχνον προσπελάσειας, ἀπομαραίνεται ὁ ἐλάττων ὑπὸ τοῦ μείζονος ἐπικρατούμενος. Καὶ ὧδε μὲν ἡ ποσότης μόνη τὰ φῶτα διαλλάξαντα τόδε πέπονθεν· ἐκεῖ δὲ καὶ τῇ διαφορᾷ τῆς ὑπ' αὐτῶν τῷ γένει ποιότητος. Ὥστε τὸ ἐξ ἀμφοτέρων τοῖν συναγόμενον συνεχῶς τὸν συνετὸν ἀνταξιάζειν τοῖς ἐπὶ ταῖς διαμαρτίαις γενομένοις τῆς πέψεως. Καὶ δὴ καθ' ὅσον ἂν ἡ καυστικὴ καὶ ἀλλοιωτικὴ δύναμις ὑπό τινος τῶν ῥηθεισῶν πάθη δραστικῶν ποιοτήτων, καὶ αἱ συστάσεις φέροιεν ἂν τὴν ἐμφέρειαν ἐπὶ τὸ λεπτότερον σύστασιν. Καὶ ταῦτα μὲν ἐπὶ ψιλαῖς ἐπιταθείσαις δυσκρασίαις συμβαίνει ἂν μᾶλλον. Ὁπόταν δ' οὐχὶ δι' ἑαυτὴν ἡ πεπτικὴ πέπονθε δύναμις, ἢ διά τινος δυσκρασίας, ἀλλ' ἐξ ἐπικρατείας οἵας δή τινος ὕλης, τότε δὴ μᾶλλον τὰ παχύτερα τῶν οὔρων ἂν φανείη ἐκκρίματα. Εἰκὸς γε μὲν τῷ χρόνῳ, ἤτοι τῆς ἐμφύτου θερμότητος μαραινομένης, ἢ τοὐναντίον τῆς ὕλης ἐπιδιδούσης διαφορά τε καὶ τὰ πάχη συνίστασθαι. Κἄπειτα δ' ἂν ἡ φύσις πάλιν ἐπιχειροίη τὴν ὕλην, μήπω ταύτην πάμπαν ἐπικρατήσασα, τὰ οὖρα ἐκ λεπτῶν παχύτερα ἀπεργάζεται. Ὅτε μὲν γὰρ αὐτὴ ὑπὸ ψυχρότητος ἐπικρατησάσης, εἴθ' ὑπὸ νόθου δηλονότι θερμότητος, οὐκ ἂν ἐφικνεῖτο κρατεῖν τὰ ταύτης, καθότι μὴ ἐπαχθεῖσα πλεονεκτουμένη πέττειν, λεπτά τε οὖρα ἀφίετο, καὶ τῆς ἐμφύτου πολλήν τις κατηγοροῖτο ἀτονίαν δυνάμεως. Ὅτε δ' αὖ κρατεῖ

ἤδη τῆς ὕλης

ἤδη τῆς ὕλης ἤρξατο, ἀόριστον αὐτὴν ποιοῦσα, ἢ τῷ τὴν λυποῦσαν ὕλην ὀλιγωθῆναι, καὶ ἀναπεπάσθαι μὲν ἤδη τὸ περὶ λεπτὸν τῆς ὕλης καὶ παχύνεσθαι μετρίαν τινὰ λαμβάνων τὴν ἐπὶ τὰ κρείττω τροπήν, ἀρχὴν δὲ ἤδη πέψεως ὑποδείκνυσιν. Τῶν γὰρ ἐξ ἀρχῆς ὑποδείκνυσιν. Τῶν γὰρ ἐξ ἀρχῆς λεπτῶν φαινομένων οὔρων, ἀλλὰ μὴ διά τινα δυσκρασίαν ψιλὴν, οὐκ ἂν ἡ ἐπὶ τὸ σύμμετρον ἀποδοθείη μεταβολὴ μὴ πρότερον αὐτοῖς ἐπιγεγονότος πάχους. Ἐκεῖνα μὲν γὰρ ὡς ἡ πεῖρά τε καὶ ὁ λόγος ἔδειξαν, μεγάλην τινὰ τὴν ἀτονίαν κατηγορεῖ τῆς φύσεως, καὶ μᾶλλον ὅσον ἡ μετὰ φαυλοτέρων χρωμάτων. Τὰ δὲ παχέα μάχην τινὰ τῆς φύσεως, καὶ ἀγῶνα πειρωμένης ὥσπερ ἐπικρατῆσαι τῆς ὕλης, καὶ ἤδη ἴσως ἐπικρατούσης, εἰ μή πως καὶ αὐτοῖς τὰ πάχη ἄμετρα διαφαίνεται. Ἐνταῦθα γὰρ εἰκὸς ὑφ᾽ ὕλης ἐπικρατουμένης τὴν φύσιν τοσαύτης καταβεβλῆσθαι. Ἐπεὶ δή τινας εἰκὸς ἀντιλέγοντας φάσκειν ὡς εἰ τὰ λεπτὰ ἐσχάτης πέφυκεν ἀπεψίας, τὰ δὲ σύμμετρα ἀρίστης πέψεως, ἔδει τὰ ὑπόλεπτα, ἀλλὰ μὴ τὰ παχέα φαίνεσθαι τῆς ἐγχειρήσεως τῆς φύσεως σύμβολα, ῥᾷόν τε καὶ πρὸς τὸ ἐκείνους τὰ δέοντα, καὶ τὰς ἐπὶ ταῖς ἐνστάσεσιν νενομισμένας ἀνακαλύπτειν αἰτίας. Ἐπεὶ τοίνυν τῶν ὑπὸ νόσου κατειλημμένων ἀνθρώπων οἱ μὲν διὰ ψιλήν τινα ἐπισυμβαίνουσαν δυσκρασίαν πάσχουσιν, οἱ δ᾽ αὖ δι᾽ οἷον δή τινος ὕλης πλεονασμόν, τοῖς μὲν διά τινα δυσκρασίαν πάσχουσιν ὥς γε εἴρηται ἤδη τὰ λεπτὰ μᾶλλον ἐπιφαίνεται τῶν οὔρων. Τοῖς δ᾽ αὖ διά τινα πλεονάζουσαν ὕλην πλέον τοῦ δέοντος, τῇ μὲν ἀρχῇ καὶ ὧδε τῶν νοσημάτων τὸ πλέον τὰ λεπτά, ἃ δὴ τῆς προϊούσης τῆς νόσου παχύνεται. Ἐνίοτε δὲ καὶ ἐξ ἀρχῆς τε τοῦ λόγου ἀφελῆρας παχέα φαίνεται ῥᾷόν ἐφ᾽ ἑκάστης τούτων κατὰ τὴν ὁμολογίαν τὰ δέοντα. Τῶν τοίνυν ἐπὶ ψιλῇ δυσκρασίᾳ καμνόντων τὰ οὖρα πάνυ μὲν λεπτὰ διαφαίνεται, τῆς οἵας δή τινος ἐπικρατούσης δυσκρασίας, τὸ ἧττον δ᾽ αὖ λεπτὰ διαφαίνεται ἀπομαχομένης ἔτι τῆς φύσεως, ὥσπερ καὶ σύμμετρα κατακρατούσης τῆς ὕλης. Ἀλλὰ τὰ μὲν τούτων διὰ καταβολὴν ἐσχάτην τῆς φύσεως, οὐκ ἐξικνουμένης τὰ ἑαυτῆς ἐργάζεσθαι, ὡς λείπεσθαι τὴν ὕλην ἀνενέργητον. Τὰ δ᾽ αὖ διὰ βραχεῖαν αὐτῆς ἀνάρρωσιν ἐπιχειρούσης ἤδη. Ἐκεῖνα δὲ δι᾽ ἐπικράτειαν, κινδυνώδη πολλῶν ἐμποδὼν τυγχάνοντος. Συμμαρτυρήσει δὲ τῷ λόγῳ μεταβαλλόμενα καὶ χρώματα. Καὶ διὰ ταύτας μὲν αἰτίας τῶν ἐπὶ ψιλῇ ἐκκαιομένων δυσκρασίᾳ φαίνεται λεπτά τε καὶ ὑπόλεπτα τὰ οὖρα. Ἐπὶ δὲ τῶν διά τινας χυμοὺς πλεονάζοντας, οὐχ ὑγιῶς ἐχόντων ταῖς μὲν ἀρχαῖς ἔτι πλέον τὰ οὖρα φαίνεται,

μήπω

μήπω ἀπηχωρισμένης δῆς φύσεως, ἅδε δὴ ὠμοῦ τοῦ πάθους ἔδι δυγχάνονδος. Καθ' ὅσον δ' ἂν ἦ δα
οὖρα λεπδὰ καὶ ἡ ὠμότης ἢ δεταύδη δῆς ὕλης, ἐδίδοδι διαδίδοδαι δαῦδα πρὸς δὴν κρίσιν ἀπη-
χθείσης μὲν δῆς καθαρδικῆς δυνάμεως, δαύδην ἔδι πάσχειν δ' ἀπειθοῦσαν πυρουμένης δῆς
φυσικῆς ὡς οἷόν δε δυνάμεως. Ὁπόταν οὖν δοῦθ' οὕτως ἔχῃ, καὶ μήθ' ἡ φύσις ἐξικνεῖται
πέττειν δὴν ὕλην, μήθ' ἡ δροφὴ καὶ πόσις ἡ χορηγουμένη θύραθεν μακροῖς πάντως ἐξαδάζε-
δαι δῆς φυσικῆς δυνάμεως ἀπομαχομένης πρὸς μείζονας· λεπδὰ μὲν διὰ δοῦδο, οὐχὶ παχέα δ' αὖ
δι' ἐκεῖνο δὰ οὖρα φαίνεδαι. Ἀλλ' ἐπειδὰν δῆς φύσεως δῆς ὕλης ἐπικραδούσης, δὰ ὠμὰ γοῦν πέ-
πεδαι, καὶ μάλιστα εἰ διὰ γαστρὸς καὶ οὔρων χωρεῖν μέλλει ἤδη καὶ δὰ οὖρα δείκνυδαι κεκαθη-
μένα πάχος ἐς μέτριον. Ὑποβιβαζομένης γὰρ δῆς ὕλης ὡς πρὸς ἔξοδον δῆς περιττῆς δι' ἐπικρά-
δειαν δινὰ δῆς πεπτικῆς δυνάμεως, καὶ δαῦτα αἰδησάμενα δείκνυδαι πάχος. Ὥστε καὶ πολλοί δινες
ἐνδεῦθεν δὴν ἐπὶ δὰ κάτω ῥοπὴν δῶν περιττῶν στοχαζόμενοι καὶ δῆς γαστρὸς διαχωρήσεις οὐ μετρίως προ-
έφθασαν. Ἀλλὰ δοῦδο μὲν δοῦ προγνωστικοῦ μέρους, κακεῖσε δεῖ δηρεῖσθαι. Ἡμεῖς δὲ κἀν δῶν προθέ-
δων, ἐπισπήσωμεν καὶ δόδ' εἰς παράστασιν. Εἰώθασιν ἐν δῇ δοῦ σώματος ἐπιφανείᾳ ἔνιοι δινὰς δάμνε-
σι γίνεσθαι. Τούτων οἱ μὲν οὐδέ ποτε τι πόνον ἔδι παραπλήσιον ἔχουσιν ὑφ' ἑαυδοὺς ἔχουσιν, ὡς δ' ὁπόσην
ἂν αὐδοὺς ἐπιδιάθῃς, σπόρους αὐτοὺς ἀδέκμαρτα δυγχάνονδας. Οἱ δ' ἕδεροι ἀποσπασάμενοι πρὸς ἑαυδοὺς ἀλλοτρί-
ας ὕλην δῷ χρόνῳ πέπτουσί τε καὶ ἀλλοιοῦσιν εἰς πύον ἤδη. Εἶθ' οὕτως εἶτ' αὐδομάδως, εἴδε καὶ
δέχνῃ δὸ περιττὸν δοῦ πύου κενώσανδας πρὸς δὸ κατὰ φύσιν ἐπανήκουσιν αὖθις. Ἀλλὰ δούδους δαῖς
μὲν ἀρχαῖς διαιρῶν, ἐπεὶ δὸ πάθος ἔδι ὠμόν, οὐδὲν ἂν ὑγρὸν ἐξανάλῃς, εἰ μὴ δὸ φυσικῶς δοῖς
μέλεσι καδαμεμιγμένον αἷμα. Καὶ δαῖς ἀρχαῖς δ' αὖ διελὼν δῶν πέψεων, ὕφαιμον ὄψει πύον. Ἂν δὲ
καὶ δαῖς ἀκμαῖς διαδηρήσας ἀνοίξειας δὸν ὄγκον, εἶθ' οὕτως ἐπιδιέλῃς ἐπιδελείσης ἤδη δῆς πέψεως, δὸ
πύον ὄψει ἀκραιφνὲς καὶ πεπεμμένον. Ταῦτα δεῖ δοῖς οὔροις παραβάλλειν, ὦ βέλτιστε. Καὶ ἐκεῖνοις
γὰρ ὠμοῦ μὲν ἤδη δοῦ πάθους δυγχάνονδος οὐδέν δι δοῖς οὔροις καὶ δαῖς λοιπαῖς ἐκκρίσεσιν ἀποδί-
δοδαι βραχύ δέ τι ἂν ἀκμάζονδος. Ὁπόδαν ἤδη καὶ ἡ ἀκμὴ παρῇ, πέψις μὲν δελεία δαῖς ὕλαις
γίνεδαι, πάχος δ' ἤδη. Τὰ δὲ οὖρα δὴν ἐπὶ δὰ κάτω ῥοπὴν λαβούσης δῆς ὕλης ἀεὶ γαστρὶ
δῶν ἐμπλεόνδων, ὁποίων δή δινων χυμῶν γαστρί τε καὶ ἐνδύσεις, καίπερ δοῖς δοῦ ἥπαδος ποιότητος
σύμβολα δῶν οὔρων, πάχυνει παχέα. Ὁπόδαν μὲν δοι δαῦτα σημαίνει, ὁ περὶ προγνώσεως
ἀποδώσει λόγος. Εἰ συνελόντα με ὡς χρὴ φάναι. Τὰ μὲν λεπτότατα δῶν οὔρων ἐσχάτην δινὰ

καὶ δὴν

καὶ τὴν ἀπεψίαν κατηγορεῖ τῆς φύσεως, ἐπιπλημμελήμασι τῆς ἐμφύτου θερμότητος. Τὰ δὲ παχυνόμενα καὶ τοιαῦτα μένοντα, ἢ καὶ καθιστάμενα, ἐπιχειρεῖν μὲν ἤδη τὰ πρῶτα τὴν ἔμφυτον τῆς πέψεως θερμότητα, ἐπικρατεῖν δέ πως τὰ θολερά· μὴ μέντοιγε ἔτι ἐξικνεῖσθαι πέψεως ἐντελῶς, εἴθ' ὑπὸ πλήθους τῶν χυμῶν, εἴθ' ὑπὸ οἰκείας ἀμαυρουμένης χαυνότητος. Ἐπεὶ δὲ καὶ δι' ἐμφράξεις εἴρηται λεπτὰ δὴ φαίνεσθαι τὰ οὖρα ἀξιοῦντα· καὶ τοῖς ἐπὶ τέλει ἀπεθήκαμεν τῷ λόγῳ νομιζομένας αἰτίας. Ὅταν τοίνυν ἤδη περὶ νεφροὺς καὶ τὰ λοιπὰ τῶν οὐρητικῶν ἀγγείων, ἢ περί τινα τῶν λοιπῶν μορίων τῶν ἐνδεχομένων ταῦτ' ἀπαίρειν σύμπαντα φάρακτς, ἔμφραξίς τις ἀξιόλογος γένηται, ὑφ' οἵας δήτινος διαθέσεως τῇ στενοχωρίᾳ διυλιζόμενα τὰ οὖρα, ὡς διὰ τρυγοίπου ἐξιόντα ἱκανῶς λεπτυνθέντα, καὶ ἔτι ἂν δόξειαν ἄπεπτα. Ὅπερ γε κἀπὶ τῶν [illegible] τοῖς πολλοῖς γινομένων ἐστὶν ἰδεῖν. Ὁπόταν γὰρ οἶνόν τινα [illegible] καὶ παχὺν οἶνον ἔχωσιν, [illegible] ἤπου διυλίσαντες πολλάκις, ἱκανῶς ἀπολάμπουσαν τὸ πλέον ἀφῃρημένον τοῦ πάχους τοῦ διυλίσαι, ὥστε καὶ [illegible] οὐδὲν γενέσθαι. Κἀπὶ τῶν οὔρων τοίνυν τοιοῦτόν τι δεῖ συλλογίζεσθαι. Ὥστε ἃ ἂν συμβαίνῃ δι' οἵας δήτινας ἐμφράξεις λεπτὰ δήπουθεν φαίνεσθαι τοὺς ἐμφράττοντας μᾶλλον ἄν τις αἰτιάσαιτο πόρους ἢ τὴν τῆς πεπτικῆς δυνάμεως ἀρρωστίαν. Ἀλλ' ὁ μὲν περὶ πέψεώς τε καὶ ἀπεψίας καὶ προσέτι ὠμότητος λόγος ἱκανῶς ῥηθεὶς ἤδη που κείσθω. Καὶ τὰ τέλειον ἴσως [illegible] περὶ τὰ τοιαῦτα σπουδάζων ὡς αἱ μὲν τῶν πέψεων εἰσὶ τῶν χυμῶν, αἱ δὲ ἀπεψίας, ἐκεῖναι δ' αὖ ὠμότητος. Νῦν δὲ προσήκει φάναι περὶ αἰτίας τῶν ἐν τοῖς οὔροις παρυφισταμένων.

Κεφ. ιε.

Περὶ Αἰτίας τῶν λευκῶν παρυφισταμένων.

Ὥσπερ οὖν ἐπὶ τοῖς κατὰ τὴν χροιὰν καὶ τὰ περὶ τὰ τοῦ ἥπατος καὶ τῶν προσεχῶν ἀξιολόγων ἀγγείων πέψεως καὶ ἀπεψίας, αἱ τῶν χυμῶν σύμβολα στάσεις μᾶλλον παρέχουσιν, οὕτω δὴ κἀπὶ τῶν ἐν τῷ φλεβώδει γένει [illegible] πέψεως οἴεσθαι δεῖ τὰ παρυφιστάμενα. Ῥητέον τοίνυν κατὰ τὸ δῆλον, πρότερον μὲν περὶ τῶν συναφαινομένων τοῖς παρυφισταμένοις χρωμάτων, καὶ τὰς ἐπ' αὐτοῖς νομιζομένας αἰτίας. Εἶθ' οὕτως καὶ περὶ συστάσεώς τε καὶ τῆς τοπικῆς μεταβολῆς, καὶ ὅσα ἐπὶ τούτοις φαίνεται. Λευκὰ τοίνυν μετρίως ὄντα καὶ λεῖα καὶ ὁμαλὰ τὰ παρυφιστάμενα ὑγιᾶ τὴν ἐν τῇ τρίτῃ πέψει δύναμιν παριστᾷ. Καίπερ ὥσπερ ἐπὶ τοῦ ἐρυθροῦ [illegible] ὑπόπυῤῥόν τε καὶ ὑπόξανθον φαίνεται, ἐνδεὲς δηλονότι τοῦ χρώσαντος αὐτὸ χυμοῦ κατὰ χροιάν. οὕτω δεῖ σκοπεῖν κἀπὶ τῆς ἐπὶ τῷ φλεβώδει γένει πέψεως.

Ἐπειδὴ

Ἐπειδὴ γὰρ αἷμα μὲν οὐκ ἀκριβῶς ἀναδοθείσης τε καὶ ἀλλοιωθείσης περὶ αὐτὰ τὰ κοῖλα τοῦ ἥπατος τῆς χυλῆς ποιηθείσης ἐν γαστρὶ τροφῆς γίνεται, ἀκραφνὲς δ' αὖ ἀλλοιωθέντος τούτου καὶ τελειωθέντος περὶ τῷ φλεβώδει γένει. Τὸ μὲν ἐκεῖσε παρεπλεύσαντα καὶ ἀχραῖον οὖρον, οἶδεν ὁ λόγος, τὰ δ' ἐνταῦθα παρυφιστάμενα ἐν τοῖς οὔροις ἀπέδειξεν· ὥσπερ δῆτα καὶ ἐπὶ τῆς ἐν γαστρί τε καὶ ἐντέροις πέψεως τὰ διαχωρούμενα πάχυνα σύμβολα. Καὶ δὴ πρὸς τὸ λευκὸν ἤδη χρῶμα τοῦ ἀκριβοῦς κεχωρηκότος πύου διὰ τὴν συμμετρίαν τῆς πέψεως. Ἐπὶ τοῦτο καὶ γὰρ αἷμα μεταβαλλόμενον οἶδα, μεθιστάμενον τοῦ χρώματος γένους ἀλλοιούμενον καὶ μεταβαλλόμενον φύσεως. Συμμαρτυρήσει δὲ καὶ γάλα, καὶ γονὴ τῷ λόγῳ, ἐκεῖθεν γὰρ καὶ ταῦτα μεταβληθέντα φαίνεται οὕτω, καὶ τὰ παρυφιστάμενα ἄρα τὴν ἀναλογίαν σώζοντα πρὸς ταῦτα ὑγιεινῆς ἂν εἴη σύμβολα πέψεως. Δέδεικται γὰρ ταῦτα τοῦ μὴ ἀκριβῶς πεφθέντος αἵματος ἐν τῷ φλεβώδει γένει περίττωμα τυγχάνειν. Ὅσον γὰρ ἂν τύχῃ μὴ μεταμειφθὲν εἰς τελείαν μεταβολὴν καὶ ἀλλοίωσιν, ὥσπερ αὐτοχρῆμα εἰς τοῦτο μεταβάλλεται τὸ εἶδος ὑπὸ τῆς φυσικῆς κρατούσης δυνάμει. Διὰ ταῦτα τοίνυν λευκὸν ἂν δικαίως ὀφθείη τὸ παρυφιστάμενον. Οὐ μὴν ἐπιτεταγμένον ἔχον γε τὴν λευκότητα, ὅτι μηδὲ κατὰ πύον μεταβέβληται· ἢ γὰρ ἂν καὶ τὴν λειότητα ἀπειληφὸς ἦν, καὶ τοῦτο μὲν ἂν ὁ λόγος ἀποδοθείη τῷ κατὰ φύσιν χρώματι. Ὅσα δὲ ἐπιτέταται εἰς λευκότητα, φλεγματωδῶν χυμῶν μᾶλλον ἔγγονα πέφυκεν, ἢ αἵματος ἀτελοῦς εἰς τὸ ἀνάλογον τῷ πύῳ μεταβεβλημένου ἐπικρατείᾳ τῆς ἀλλοιωτικῆς δυνάμεως.

Κεφ. 15.

Περὶ Αἰτίας τῶν ὑπώχρων καὶ ὠχρῶν καὶ χολωδῶν παρυφισαμένων.

Ὅσοις δέ γε ὕπωχρα, καὶ ὠχρά, καὶ χολώδη φαίνεται χρώματα διὰ τοιαύτας ἐν αἰτίας τύποις ἀφικνεῖται· ἀπόταν διὰ τοιοῦτον πλεονάσαντος χυμοῦ, ἤτοι τοῦ αἵματος αὐτοῦ διαφθαρέντος εἰς χολώδη τινα καὶ ἀλλόκοτον ποιότητα, ἢ καὶ διὰ πλείω προσφορὰν τροφῆς ἰδίως αὐτὴν γεννώσης, ἢ διὰ τοιούτους χυμοὺς αὐτοὺς ἀκμάσαντας, ἢ δι' οἵαν δή τινα παραπλησίαν διάθεσιν τέ καὶ δίαιταν, τὰ αὐτὰ τύπους ποιοῦσαν, μὴ ῥᾳδίως τὴν φύσιν ἔχειν ἀποδιωθεῖσθαι πᾶσαν τὴν τῶν τοιούτων διαφθορὰν χυμῶν, ἤτοι τῷ χρόνῳ καμοῦσα, ἢ τῷ πλήθει νικηθεῖσα, συναναδίδοται μὲν ὁ τοιοῦτος χυμὸς τῇ τρίτῃ πέψει χυμὸς χολώδης. Συμφθαρεὶς δὲ καὶ οὗτος τῷ αἵματι, καὶ συναναδοθεὶς ἐπὶ τῷ φλεβώδει γένει, ἐκκρινόμενος δὲ ὅσον οἷόν τε ἐκεῖθεν ἐν τοῖς οὔροις, τὴν ἐπικρατοῦσαν ἐκεῖσε τῶν χυμῶν ποιότητα τοῖς παρυφισαμένοις δηλοῖ. Ἐκ γὰρ τῶν ἐκκρινομένων καὶ τὰ προσλαμβανόμενα δοκιμάζεται. Ὥστε δεῖ διὰ πάντων τούτων ἰόντα τὴν τῆς φύσεως καὶ μέτρα χρωμάτων τε

καὶ συστάσεως, ἔτι δὲ τῶν παρυφισταμένων καὶ τῶν ἐπὶ τούτοις καθ' ἕκαστον ἐξετάζοντας, καὶ τὰς ἀναλογίας ἀποδιδόντας, οὕτω τὰς ἀποφάσεις ποιεῖσθαι, καὶ μάλιστα ἂν ἴσως οὕτω τὶς ποιῶν σφαλείη οἶμαι τοῦ δέοντος.

Κεφ. ιζ.

Περὶ αἰτίας ὑπερύθρων, καὶ ἐρυθρῶν καὶ ὑφαίμων παρυφισταμένων.

Περὶ δὲ ὑπερύθρων τε καὶ ἐρυθρῶν, καὶ προσέτι ὑφαίμων παρυφισταμένων, τοσαῦτά ἐστιν εἰπεῖν ὅσα καὶ μὴ διωρισμένων ἔστιν αὐτῆς μαθεῖν ἐκ τῆς αἰσθήσεως. Ἐπεὶ δ' ἂν γὰρ ὁ αἱματικὸς ἀναδοθεὶς οὕτω χυμός, ἐπὶ τὴν κρείττω τάξιν, ὅσον ἂν δόξαν μὴ προσληπτέον ἐλαχίστῃ τῆς κατὰ φύσιν μεταβολῆς τῷ μὴ κρατεῖσθαι ἤτοι διὰ πλῆθος ὑπερβάλλον τὸ σύμμετρον, ἤτοι τὴν καθεκτικὴν ἐκείνου δύναμιν ἀτονήσασαν, καὶ τὰς βελτίους τῶν χυλῶν ἀπολύειν, τὰ τοιαῦτα φαίνεται παρυφιστάμενα. Ἐπικρατούσης γὰρ τῆς ἐκείνου δυνάμεως, ἅπαξ ἂν πάντα ἀλλοιωθείη μεταβληθέντα, καθά τι δὲ πεπονθυίας, καὶ τὰ παρυφιστάμενα ἐναντία τοῦ ὑγιεινοῦ φαίνεται.

Κεφ. ιη.

Περὶ τῶν ὀρφνωδῶν καὶ πελιδνῶν καὶ μελανῶν παρυφισταμένων αἰτίας.

Ὀρφνώδη γε μὴν καὶ πελιδνὰ καὶ μέλανα διαφαινόμενα, ἤτοι διὰ νέκρωσιν τῆς ζωτικῆς δυνάμεως, [εἰς τοιοῦτο γὰρ νεκρωθεὶς χυμὸς μεταβάλλεται] ἢ διὰ τὸν μέλανα χυμὸν ἐκεῖσε ποθὲν ἀναφερόμενα ἢ γεννηθέντα, ἔτι δ' οὕτως καὶ τοῖς οὔροις παρυφίστασθαι, παραγινόμενα· ἢ διὰ νεκρωθέντα τε καὶ μεταβληθὲν αἷμα, καὶ τοῖς οὔροις συνδιαδοθέν. Ὁπόταν γὰρ ἤτοι συναναδοθεὶς τῷ αἵματι ὁ μελαγχολικὸς οὗτος χυμὸς τὸ τὴν ἀποκριτικὴν ἀτονῆσαι δύναμιν μέχρι καὶ τῆς τρίτης χωνείας πέψεως, ἢ καίπερ δ' ἀποκριθῇ ζῶντός γε ἔτι τῆς ζωτικῆς δυνάμεως, οὗτος συνανακραθεὶς τῷ παρυφισταμένῳ τοῦτο χρώζει. Μέτριος μὲν ὢν φαιά τε καὶ πελιδνὰ ὑποδείκνυσι χρώματα, μέλανα δ' αὖ εἴ γε τῇ ποσότητι καὶ τῷ πλήθει ἀποδοθείη. Καὶ οὕτω μὲν ἂν ὁ μελαγχολικὸς ἀναδοθεὶς καὶ διὰ ταύτην ἀποδοθεὶς αἰτίαν φαίνεται. Ἔστι γε μὴν ὅτι τοῦ ἀναδιδομένου αἵματος μελαγχολικοῦ τυγχάνοντος ἤτοι τῷ ἐκ τοιούτου χυμὸν τῷ χρόνῳ μεταβεβλῆσθαι ὑπ' οίας δή τινος ἑτέρας τινὸς αἰτίας. Οἶδα καὶ γε μὴν ὅτι λόγιος, καὶ ἡ πεῖρα τοῦτο, προσλαβόμενος μὲν τοῦτο ὅσον

ἀκραιφνέσιν

α... ασφνὲς τῇ ξηρότητι πάσχει, τὸ δὲ μεταβεβλημένον ἤδη πρὸς χολὴν μέλαιναν ἀποκρίνοι
τῇ ἀποκριτικῇ δυνάμει. Προσυπομιμνήσκω δὲ καὶ τὸ δὲ τῷ λόγῳ. Ἐπειδὰν γὰρ τοῦ αἵματος ~
να προσθανόντος καὶ πρὸς μέλαν χρῶμα κεχωρηκότος, ἤτοι διὰ βασάνους καὶ μάστιγας ἐπιτε-
θείσας, ἢ διὰ τὴν τῆς δυνάμεως πάρεσίν τε καὶ νέκρωσιν, ἡ φύσις τοῦθ' ὥσπερ περιττὸν
ἀπωθεῖν ἐξοχετευθείη, τότε δὴ τότε τὰ οὖρα τὰ τοιαῦτα συναποκριθέντα παρυφιστάμενα ~
πλέκεται. Καὶ ὁ μὲν περὶ αἰτίας χρωμάτων λόγος ἐπὶ τοῖς παρυφισταμένοις ἐνταῦθα κείσθω,
τὰ ἀναγκαῖα μόνον ἡμῶν εἰρηκότων. Περὶ δὲ ποσότητος παρυφισταμένων νῦν ἂν δέοι-
ον φάναι. Εἶθ' οὕτως καὶ περὶ τῶν λοιπῶν ἐπ' αὐτοῖς ζητημάτων.

Κεφ. ιθ.

Περὶ τῆς κατὰ τὴν ποσότητα τῶν Παρυφισταμένων Αἰτίας.

Τὰ τοίνυν πλείω κατὰ ποσὸν παρυφιστάμενα, πλείω μὲν ὑποφαίνει τὴν τροφὴν τῷ ~
σώματι ἀναδίδοσθαι, ῥώμην δέ τινα τῇ ἀλλοιωτικῇ παρεῖναι δυνάμει. Ὁπόταν γὰρ ὕλης
μὲν δαψιλοῦς ἡ φύσις ἐπιτύχῃ, ῥώμη δ' αὐτῇ παρῇ, οὐχ ὑφίσταται τῆς ἐπιπλέον θρέψεως. ~
Ἀλλ' ἀεὶ μὲν πρὸς φύσιν τε καὶ ἐξομοίωσιν ἐργάζεται, ἀεὶ δ' ἅπαντα τῇ ἀναλώσει ταύτῃ καὶ
περιττωμάτων πλῆθος οὐκ ἀγεννές. Οὐ γάρ ἐστιν ἐφ' ὁποίας οὖν ἀναδιδομένης τῷ σώματι
τροφῆς μὴ καὶ περίττωμά τι ἀποκρίνεσθαι. Τῆς τοίνυν πλείονος κατεργασίας τῶν χυμῶν καὶ
τὰ περιττώματα πλείω τελεῖν ἀνάγκη. Οὐ δεῖ δὲ λανθάνειν, ὅτι καὶ τῆς ἀλλοιωτικῆς
τε καὶ πεπτικῆς ταύτης δυνάμεως ὑφ' οἵας δή τινος ἀμαυρωθείσης αἰτίας πλείω τὰ παρυ-
φιστάμενα φέρεται. Ἀλλὰ ταῦτα μὲν ἤδη πρὸς πάχος χωρεῖ τὴν ἀκριβῆ πέψιν ἐκπεφευ-
γότα, περὶ ὧν ἐροῦμεν μετ' οὐ πολύ, ἐν οἷς ἂν περὶ συστάσεως παρυφισταμένων. Νυνὶ
δὲ περὶ ὀλιγότητος παρυφισταμένων ῥητέον. Καὶ ταῦτα γὰρ εἴρηται ἐπί τε ἐνδείαις, καὶ ~
γυμνασίοις, ἀμφρασίαις τε καὶ βραδυπεψίαις γίνεσθαι. Τῆς τοίνυν θρεπτικῆς δυνάμεως, ~
ὕλης μὲν ἀρκούσης εὐπορούσης τὰ κρείττω δὲ ταῦτα προσλαβανόμενα, τὰ χείρω ἀποθεῖσθαι
περιττὸν ὂν ἐπεὶ καὶ ταῦτα προσλαβάνοιτο. Ἐπειδὰν μὲν τοι προσηκούσης τε καὶ ἀκραιφνοῦς

δι' ὅλου ~

δι' ἄλλο λείπεται τοιαύτης ... αἱ τὰ παρυφιστάμενα τὸ κατ' ἀναλογίαν λείπεται ποσοῦ. Εἰ γὰρ μὴν τοῖς πολλὰ γυμναζομένοις, κἂν ἡ τροφὴ πλείων ἦν, ἀλλ' οὖν ταὐτὸ ἐλάττω φαίνεται τῷ καθαρθῆναι τέ καὶ λεπτυνθῆναι τὰ τοιαῦτα περιττώματα, καὶ δι' αὐτὸ τῆς διαπνοῆς χωρῆσαι, ὥστε βραχύ τι ταύτης λείπεσθαι συνεχωρήθη τὴν ἔξοδον καὶ τὰ οὖρα συνδιατεθῆναι. οὐκ αὖ δ' αὖ τῶν τῶν πόρων ἐμφραχθέντων τὰ παρυφιστάμενα μείω φαίνεται, καὶ λεπτότερα, ἀπολαμβανομένῃ τῇ στενοχωρίᾳ τοῦ παχυτέρου. Ταῦτα μὲν οὖν ὁ περὶ ποσότητος παρυφισταμένων κατὰ τὸν λόγος. Ἀκόλουθον δ' ἂν εἴη καὶ περὶ συστάσεως δι' οἵας δή τινος αἰτίας λεπτά τε καὶ παχέα φαίνεται τὰ παρυφιστάμενα; οὕτω γὰρ ἂν ἀκολουθοίη τῷ λόγῳ, καὶ ἡ κατὰ συνθήκην τάξις ἀποδοθείη ἄν. Τὰ μὲν οὖν λεπτὰ τῶν παρυφισταμένων ἀκραιφνῆ μὲν ὄντα, καὶ μὴ ῥᾳδίως καθαριζόμενα, διακινουμένης τῆς ἀμέθοδος, πολλήν τινα τὴν ἀδυναμίαν τὴν ἐπὶ τῇ τρίτῃ πέψει καθηγοροῦσι φύσεως. Εἰ γάρ τοι ἴσχυεν αὕτη, τάχ' ἂν τὴν σύμμετρον αὐτῷ παρέθηκε σύστασιν. Νυνὶ δ' ἰδεῖν τι περὶ τὴν γαστέρα τε καὶ ἐντέρων πάθος ἀσθενήσασαν ἐπισυμβαίνει [illegible] μὲν γὰρ λεπτὰ καὶ κάθυγρα τὰ διαχωρούμενα, ὥστε δ' αὖ λευκά τε καὶ ὑδατώδη τὰ οὖρα, τοιοῦτόν τι καὶ ἐπὶ τῇ τρίτῃ πέψει γίνεται [illegible]. Τὰ γάρ τοι τῶν παρυφισταμένων λεπτὰ οὐκ ἄκρατα τῷ ἐμφύτῳ γέγονα μὴ κρατηθέντα θερμῷ. Ἅμα μὲν λεπτὰ διαφαίνεται, δι' ἐμὴν χυμὸν λεπτυνθέντα, καθὼς καὶ τοῖς περὶ διαγνώσεως οὔρων εὐφθάσαμεν εἰπόντες, ὑπορωννυμένης ἤδη τῆς ἐμφύτου γίνεται δυνάμεως ἀπολεπτυνούσης, καὶ σκεδαννυούσης ὅσον πάχος ὕλης περὶ τὰς φλέβας καθέστηκεν ἐξ ὠμοχυμίας. Ταῦτα δ' ὡς ἡμέραι κατὰ τῶν μετεωρολογουμένων δείκνυται. Καὶ γὰρ κἀκεῖ τοῦ μὲν ἡλιακοῦ θερμοῦ κρατοῦντος, ὅσον πάχος πέφυκεν ἀτμώδους οὐσίας, λεπτύνεταί τε καὶ διασκεδάννυται ἐξαιρούμενον, κρατηθέντος δ' αὖ συνάγεταί τε καὶ παχύνεται. Καὶ πρὸς τούτοις τῇ πολλῇ μελαίνεται συμπιλήσει, καὶ χαίρω τῆς ἀπὸ γῆς τὴν ἄνοδον ἀπειλεῖ, ἁρμόσαι δ' ἂν τὸ παράδειγμα κἀπὶ τῶν παχέων παρυφισταμένων. Τοῦ γάρ τοι ἐμφύτου θερμοῦ ἡττηκότος, καὶ μὴ ῥᾳδίως ἀνύσαντος τῶν χυμῶν κρατουμένων τε καὶ λεπτυνομένων. Τοῦτο γὰρ ἐπὶ τῶν χυμῶν θερμοῦ πέφυκεν ἴδιον. τοὺς μὲν λεπτοὺς καὶ οἷον ἀερίους συνιστᾶν καὶ ἀναρίπτειν ποιεῖν τῇ πέψει. τοὺς δὲ ὠμοὺς καὶ παχεῖς ἀπολεπτύνειν τε καὶ πέττειν. Τὸ πάχος ἂν τοῖς παρυφισταμένοις συμβαίνει φαίνεσθαι. Ὅσα γὰρ τῶν ἀναδιδομένων μὴ φθάσῃ κρατυνθέντα τῇ πέψει, δι' οἵας δή τινας λόγους ἤδη πάμπαν λεπτὰ φαίνεται, ἢ πάχος ἔχοντα ἀνακομίζονται, δῆλον ὅτι τὸ ἐπὶ τῇ πέψει

σύμμετρον

σύμμετρον. Ἃ δὲ τῆς φύσεως ἥττον τὰ περιττὰ ἀποκεκριμένης λόγῳ κρίσεως, πάχος ἔχοντα που-
φιστάμενα φαίνεται, τὰ ῥώμην μᾶλλον τῆς ἀποκριτικῆς δυνάμεως γίνεται, τὰ φαῦλα καὶ ἄχρηστα
πάνυ διακεκριμένης, ἀλλ' ἔτι τὴν ῥώμην εἰληφότα. Ἃ γε μὴν δι' ἀπόκρισιν τὸ πάχος ἔχοντα παρυφι-
στάμενα φαίνεται, ὁ περὶ διαγνώσεως ἄρτι λόγος, τὴν δὲ αἰτίαν, ὁ περὶ πέψεως ἀποδώσει.
Ὅσα μὲν γὰρ ἀκριβῶς πεφθέντα φαίνεται, τὴν σύμμετρον ἀπολαμβάνει κατὰ γένος σύστασιν· ὅσα
δ' ἂν ἀμαρτηθέντα τύχῃ, ἤτοι λεπτότερα, ἢ παχύτερα δείκνυται. Ἐνταῦθα τοι καὶ τὸ τῶν πυο-
ποιουμένων· σύμμετρον ἂν δόξῃ τι σὸν· τὸ τῇ πέψει κρατηθὲν γινόμενον, ὃ παχύτερον
μὲν ἂν τις παρυφιστάμενον φαίνεται, λεπτότερον δ' αὖ τὸ τοῦ αἵματος. Ἀλλὰ τὸν μὲν
περὶ τοῦ πύου λόγον καὶ ἄλλοθεν ἂν τύχοις μαθών. Ὥσθ' οὕτως μὲν ἀφαιρεῖσθω, μὴ πάνυ χρε-
ὼν ὂν αὐτὸν εἰρῆσθαι. Ἡμεῖς δ' ἐπεὶ περὶ συστάσεως τῶν ἐν οὔροις παρυφισταμένων τὸν λόγον ποι-
ούμεθα, εἰκότως ἂν καὶ περὶ ὀροβοειδῶν καὶ πιτυροειδῶν, πεταλωδῶν τε, καὶ κριμνωδῶν φαί-
νοιμεν ὑποστάσεων.

Κεφ. ιε.

Περὶ τῆς ὀροβοειδῶν, πιτυρωδῶν, πεταλωδῶν τε, καὶ κριμνωδῶν παρυφισταμένων αἰτίας.

Ὁποῖαι μὲν οὖν αἱ τοιαῦται αὗται, ὁ περὶ διαφορᾶς οὔρων ἄρτι λόγος ὅτι δὲ σημαίνουσι, ἐν τοῖς περὶ
διαγνώσεως εἴρηται. Νυνὶ δὲ τὰς αἰτίας ἀποδώσομεν τὸν λόγον ἀπαιτοῦντος ἐντεῦθεν. Ὁπόταν τοίνυν
ἐπὶ τοσοῦτον τῆς σαρκὸς καθήκηται ὁ πυρετός, ὥστ' ἤδη ταύτην ἀποκναίειν τε καὶ τήκειν, τῆς πιμε-
λῆς προαναλωθείσης ὑπὸ τῆς ἀμέτρου ὑφιζάνει πυθμένι, ὅσον ἂν τύχῃ τῆς σαρκώδους δαπανηθὲν οὐ-
σίας. Οὐ γάρ τοι οἷά τε τοῦτο μαλακύνεσθαί τε καὶ ἀποπλανᾶσθαι ῥᾳδίως καθάπερ ἐπὶ τῶν
παρυφισταμένων συμβαίνειν εἴωθεν, ἀλλ' ἀεὶ τῷ πυθμένι προσπάγη τινα φυσικῶς τινι προσίζανον τῷ βάρει.
Καὶ ὧδε μὲν ὅτι μέρος ἀδιάπλαστον καὶ παχυμερὲς ὁ πυρετὸς καθίκετο καὶ τὰς ὑποστάσεις τοιαύτας ἀ-
πέδωκεν. Ἐπί γε μὴν τῶν πεταλοειδῶν ὑποστάσεων, καὶ τι σχῆμα ἀποσώζεται τοῖς παρυφισταμένοις,
ἀφ' οὗ γε καὶ τοὔνομα γεγόνασιν. Ἐπὰν γὰρ ἤδη καὶ τῶν στερεωτέρων ἅπτηται τὸ πάθος τοῦ πυ-
ρετοῦ, ὥσπερ τινῶν ἀποξεομένων λαμπρῶν, ὑπ' ἀντιθέτων σωμάτων ταῦτα φαίνεται. Τῶν γὰρ
ὑπὸ πυρὸς ἀνειμένων τὰ μὲν τηκόμενα λύεται, τὰ δ' αὖ θρύπτεταί τε καὶ διαθέρμεται, ὅσα δηλονότι

σκληρᾶς

στιλπνὰς καὶ ἀποδέχεσθαι δαλέχηνται οὐσίας ἴδια. Καὶ καθ' ὅσον ἂν ἥκηδι συλληφθέντες δὰ σώματα καὶ δὰ δερμάτια μείζω γίνεδαι, ἀντιτυπήσαντα μὲν πρῶτον πρὸς δὴν δῆς πυρὸς ἄνεσιν, ἐνδόντα δ' αὖθις νικηθέντα μᾶλλον δῶν ὑγρᾶς δινος καπνινηκόδων οὐσίας. Ὥσπερ δῆτα ἐπὶ τε δῶν κραύρων ξύλων καὶ τῶν λίθων ὁρῶμεν παραγίνεσθαι. Εφίσπανδαί τε γὰρ δήδων καομένων οὐκ ὀλίγα δρύμματα ἐκπυρηνιζόμενα: ἅγια μὲν ἐκκόμματα δύνδαι ἐπειδὴ δὲ ἅμα δ' ἔστε καὶ σάρξ, ςάκτη τε καὶ δοῖς ἀναλογοῦσι παραβληθεῖσι. ~

Διὰ δαῦτά τοι καθ' ὅσον ἂν ὁ σπύρηθος ςαρκωδέρων ἅπτηδαι σωμάτων μείζω δὲ καὶ ἀπιδανοδέρως φαίνεδαι δὰ διαγινόμενα κόμματα, καὶ δῦτο καθ' ἅπαξ ἀπὸ δὲ δῶν πυδαλοειδῶν ὑποςάσεων ὑπὸ καπνικοῦ πυρὸς καομένων. Καὶ δεῖνον ὥσπερ σπινθῆρα τε καὶ ὀλίγῳ θερμῷ διαπλάττεταί τε καὶ ἀποτίθεται ἅπαξον δήδων. οὕτω νόθῳ τε καὶ ἀμάθρῳ διασῶταί τε, καὶ συντήκεσθαι πυρῷ. καὶ δῆς μὲν δὰ σώματα καδαδαπανᾶσθαι ὁ πυρωδὸς ἂν εἴη καθηνέγμενος δῆς βάθους αἴτιος δῆς δὲ διαφορᾶ δὰ εἴδη δῶν δαμιεμένων φαίνεσθαι, καθὰ δῆς [illegible] ὕλης διαφορὰν συμβαίνειν. ὥσπερ ἔχεις καὶ δὸν δῶν πολυσωμάτων καὶ παλαιλαιδῶν καὶ κηρινωδῶν ὑποςάσεων ὀλίγον ἀλλοῖα νοοῦ ἔχουσιν νομιζόμενον. Οὐ δεῖ δὲ λανθάνειν ὡς ἄθ' οἷα καὶ χυμῶν ὠμῶν συμπηχθέντων εἰς παραπλήσια εἴδη ἐμφασεῖς δῆς δῶν ῥηθεισῶν ὑποςάσεων διαφαίνεσθαι. Οἷον γάρ τοι δοῖς ἐν δηγάνῳ ἐξομένοις συμβαίνειν εἴωθεν. Οπτώμενα γὰρ δαῦτα συνίζηδαι, καθ' ὅσον δ' ἂν περιφλέγηδο μαυρίω γίνεσθαι. Τοιοῦτόν τι καὶ ὧδε δεῖ συλλογίζεσθαι, καὶ καθ' ὅσον ἂν ᾖ μείζω δὰ κόμματα, καὶ δὸν πυρωδὸν ἐπιπαραδάξαρον δαμιευόμεθα. Ενίοτε γὰ μὲν καὶ δοῖς αὐδὸς δυχάνουσι πυρωδοῖς δοιαῦτα συναμφαίνεδαι δοῖς παρυφισαμένοις δυσκαθαργάςω χυμοῦ δινος ἔγγονα, καὶ δαῦτα μὲν δῷ χρόνῳ καθάπερ γεγονότα καὶ διαλύονται. καθάπερ καί τινας δοῖς οὔροις ἐνίοδε συναπαίνονται δεῖχες. ~ ὧν δὰς διαγνώσεις ἐν οἰκείῳ δόπῳ καταδεδώκαμεν.

Κεφ. κα.

Περὶ τῆς δῶν συμμεμιγμένων, ἤτοι ἀναμοιομερῶν παρυφισαμένων αἰτίας

Νῦν δὲ θέμις καὶ δὰς ἐπὶ δέλει αἰτίας παραθεῖναι δῷ λόγῳ ἴσως οὐκ ἀχρείας ἀποβησομένας δοῖς περὶ δὰ δοιαῦτα σπουδάζουσιν. Επειδὰν γάρ τινας ἀναπολωθῶσι χυμοὶ περί τινας πόρους, καὶ μὴ ἐνδέχηται διαλυθέντας [illegible] καὶ διαπνευσθέντας, μήτ' αὖ διεκπαθέντας ἰσχυρῶς, ἀλλὰ δῷ χρόνῳ περὶ δοὺς πόρους ἀντιαθρίσαντας σύμπηξίν τινα καὶ πόρωσιν ἀπολάβωσιν ὑφ' ἧς δή τινος θερμόδητος εἰς ~

δοιαῦτα ~

τοιαῦτα εἴδη μεθίζαντα, μήτε πόροι γεγονότες τελείως, μήτε μὴν ἀκριβῶς χυμοὶ τυγχάνοντες, ἀλλὰ μᾶλλον ὄντες χυμοὶ πρὸς πόρον χωροῦντες. Τ' ἄλλα μὲν τῶν λοιπῶν ψήγμασιν καὶ πιτύροις, καὶ ὅτα ἂν ἕτερον φαίης εἰκάζων, συγχθεῖεν ἂν καὶ κατὰ τὰ λοιπὰ μέρη τοῦ σώματος. Αἵ γε μὴν θριξὶν ἐοικυῖαι ἐπὶ τοῖς ἐπὶ τῶν νεφρῶν ἐς κύστιν ἰοῦσι πάχυνσιν οὐρητικοῖς ἀγγείοις γίνονται. Καὶ καθ' ὅσον ἂν μήκους ἐν τοῖς ἐκεῖ ἀγγείοις ἡ σύμπηξίς τε καὶ ὄπτησις γένηται τοῦ χυμοῦ, καὶ αἱ οἷον τρίχες παραπέμπονται. Καὶ πολλάκις τοιαῦτα ἐν ἀνθρώπου οὔροις ἑωρακὼς, οὐ μικρὸν τῆς τε διαγνώσεως καὶ προρρήσεως φάμενος μὴ καλῶς διακεῖσθαι τὸν ἄνθρωπον τοὺς νεφρούς, ἐκεῖνοι δέ γὰρ τὸ πάθος ὥσπερ ἐλεγχθέντες ἀνωμολόγησαν, κἀμοί τε θαρρήσαντες τὴν θεραπείαν ἐπίσχον. Ἀλλὰ τοῦτο μὲν ἄλλου τοῦ λόγου μέρος. Ἡμεῖς δ' ἐπεὶ προεθέμεθα τὰς ἀφ' ἑκάστης τῶν φαινομένων ἐν τοῖς οὔροις αἰτίας ἀποδιδόναι, οὕτω δὲ καὶ πεποιήκαμεν. Τὰς δὲ δηλονότι ἐπὶ τοῖς καθ' ἕκαστον τῶν χρωμάτων ἀποδιδόμενοι αἰτίας, τάς τε ἐπὶ ταῖς συστάσεσιν, καὶ προσέτι τὰς ἐπὶ τοῖς τῶν παρυφισταμένων χρώμασι καὶ ποσότησι καὶ συστάσεσι παραθέντες τῷ λόγῳ. Ἐπεὶ δὲ ἔοικε μέτρον ἀρκοῦν ὁ λόγος ἀπολαβεῖν, ἐνταῦθα μὲν τοῦτον καταπαύσωμεν, ἵνα μὴ καὶ τοῖς σπουδάζουσι ὑπὲρ τὸ μέτρον ἐκτεινόμενον φαινοίμεθα. Τὸ μὲν γὰρ ἐν βραχέσι λόγοις πολλὰς ἐπαγγέλλειν ὅλως εὐνοίας βούλεται, συντομίας τε ἅμα καὶ σπουδῆς οὐκ ἀλλότριον φαίνεται: Τὸ δὲ καλλιλογεῖν ἐθέλειν καὶ παρεξιέναι ἐπ' ἀντιθέσεις καὶ φιλοτιμίας κενάς, εὐφυοῦς μὲν ἄλλως ἴσως τοῦτο τρόπου. Πλὴν ἀλλ' οὐχὶ προσήκοντος ἀνδράσι σπουδαίοις τὸ βραχέσι λόγοις πολλὰς ὑποθέσεις συντιθέναι σπεύδουσιν. Ἀλλ' ὁ μὲν περὶ τούτων λόγος ὧδέ πη καίτοι καὶ ἄλλα δή ποθι γενησόμενος. Ἡμῖν δ' ὅσον λείπεται καὶ τοῦ μέτρου συγχωρήσαντος τοῦ λόγου, ἐν ἑτέρῳ λόγῳ προσγράψομεν. Κἂν ἤδη λείπῃ τῷ λόγῳ, ἀρκεῖ μὲν οἶμαι τοῖς καθολικοῖς ἐμπεριέχεσθαι τοῦτο λόγοις. Εἰ δ' ὁ παθεῖν αἴτιος ἀνθρώπους τυγχάνοντας, ὁ [illegible] μὴ καταμεμφέσθω πάθος ἀνθρώπινον, ἀλλὰ [illegible] τὸ προσφορθὲν τὴν τοῦ ... πλήρωσιν. Οὕτω γὰρ διὰ πλειόνων τὴν συνθήκην ἀπειληφὼς ὁ λόγος, αὐτὸς μὲν ἀπολαύσοι ἂν τοῦ τέλειος εἶναι, τοῖς δὲ σπουδάζουσιν οὐκ ἀγεννὴς ἔσται μέθοδος.

Τοῦ βιβλίου Περὶ Αἰτίων Οὔρων τὸ Α.

Τέλος.

ΑΚΤΟΥΑΡΊΟΥ
ΠΕΡῚ
ΟὔΡΩΝ ΑἸΤΊΩΝ

ΤῸ Β·

Τὰ δ᾽ ἀνεστὶ

Τὰ ἐνόντα ἐν τῷ β περὶ αἰτίων σφυγμῶν.

Οἷόν τι

Ἀκτουαρίου περὶ αἰτίων οὔρων τὸ Β.

Οἷόν τι τοῖς φιλοθεάμοσιν συμβαίνειν εἴωθεν, ἐπειδὰν εἴς τινα παρέλθῃ ἐπίσημον οἶκον, [οὐ γὰρ τἀναγκαῖα μόνον αὐτοῖς ἀξιοθέατα γίνεται, βάθρα δηλονότι καὶ στοαί, ὑπανέχοντες κίονας, καὶ ὄροφος καὶ ὅσα ἐπὶ τούτοις φαίνεται, ἀλλὰ καὶ εἴ τι προσαπετέθη τῷ οἰκήματι καλλωπισμοῦ ἁπλῶς εἴτε διαφορᾶς σχημάτων καὶ γραφῶν, καὶ διαφανοῦς καταστρώματος] τοιοῦτόν τι κἀμοὶ συμβέβηκεν, οὐ μόνον περὶ τὴν ἀναγκαίαν τῇ τέχνῃ σπουδακότι, ἀλλὰ καὶ περὶ τὰ κάλλους οὐχ ἧττον ἢ βάσιν ἀσφαλῆ τοῖς ῥηθεῖσι παρεσχηκότα. Ἐνθένδε καὶ δευτέρου λόγου τοῦ περὶ αἰτίας οὔρων ἐδέησε τοῦ πλάσαι, ἵν᾽ ὅπερ οὖν ἐφ᾽ ἑκάστοις τῶν ῥηθέντων ἐν ταῖς διαγνώσεσι λόγοις, καὶ τὴν ἀνήκουσαν ἐπαναληπτικῶς εἴη αἰτίας. Ἀλλ᾽ ὁ μὲν περὶ αἰτίας οὔρων λόγος πάλαι ποτὲ ἤδη τοῖς φιλοσόφοις ἐσπούδασται, ἅτε τῇ φιλοσοφίᾳ προσηκόμενος. Νυνὶ δ᾽ οὐκ οἶδ᾽ ὅπως ἀνασπασθεὶς ἔφθανε τῶν καθ᾽ ἡμᾶς ἰατρῶν πάλαι τὸ περὶ φιλοσοφίας φιλότιμον καταλύσαντι, καὶ μόλις τοῖς περὶ διαφορᾶς τε καὶ διαγνώσεως ἐπιγεγονόσι λόγοις. Ὥστε καὶ μέχρι τινὸς ἀνεβαλλόμην τὰς ἐπὶ τοῖς οὔροις ἐξευρημένας μοι αἰτίας ἐξαγγέλλειν πάλαι παραληφθείσας τῇ τῶν μετιόντων τὴν τέχνην ἀπραγμοσύνῃ. Ἐπεὶ δὲ πρὸς ἐμαυτὸν γεγονώς, τὸ μὲν ἀτελῆ τὸν λόγον ἀφεῖναι ῥαθυμίας τινὸς ἔκρινα, σπουδῆς τινὸς δὲ οὐκ ἀγεννοῦς τὸ τὰ λείποντα προσγράψαι ἐπιχείρημα τοῖς περὶ αἰτίας λόγοις θαρροῦντες πολλὰ λυσιτελοῦσιν τὸν λόγον, ὅσοις ἂν ἢ δηλονότι φιλοσοφίας μέλῃ. Ταῦτ᾽ ἄρα δίκαιον νομισθὲν τὸ προσγραφῆναι τῇ πραγματείᾳ τὸν περὶ αἰτίας οὔρων λόγον, τὸ μὲν αὐτοῦ ἤδη λελέχθαι μοι, τὸ δ᾽ αὖ ῥηθήσεσθαι. Δοίη δ᾽ ὁ πάσης ἐπέκεινα αἰτίας καὶ τὰς ἐπὶ τοῖς λοιπαῖς περιάνεις ἀσφαλῶς αἰτίας ἐπιβῆναι, ἵνα δι᾽ ἡμῖν ὁ λόγος ῥᾴδιος προβαίη, καὶ τοῖς ἐκμαθεῖν αὐτοῖς τοῖς λόγοις σπουδάζουσιν, ἡ εἴσοδος ἀπονήλατος τῆς καμάσεως. Ἐπεὶ τοίνυν τάς τε ἐπὶ τοῖς χρώμασι καὶ συστάσεσιν ἀποδεδώκαμεν αἰτίας, καὶ πρὸς ταῖς ἐπὶ τοῖς παρυφισταμένοις, οὐ μέντοι τοῖς ἐπὶ τούτοις πᾶσι λεγομένοις ἀποδέδονται αἱ αἰτίαι. Λείπονται γὰρ ὅσα περὶ λευκότητα καὶ ἀνωμαλίαν καὶ τὴν τοπικὴν θέσιν τῶν παρυφισταμένων πέφυκεν, καὶ προσέτι, ὅσα περὶ πομφόλυγας καὶ εἴ τι ἕτερον ἐπινήχεται τῇ τῶν οὔρων ἐπιφανείᾳ. Προσῆκον ἂν εἴη ὡς δύναμις ἐφαπτομένῳ μοι καὶ τὰς περὶ τούτων ἀποδοῦναι αἰτίας, εἶθ᾽ οὕτως δὲ καὶ περὶ τῶν ἑξῆς καθὼς ἂν ὁ λόγος προήκων διασκευάσειεν.

Κεφ. α.

Κεφ. α.

Περὶ αἰτίας λείων καὶ τραχέων καὶ γλίσχρων παρυφισταμένων.

Ἐπεὶ τοίνυν ἐν τοῖς κατὰ τἄλλα συμμέτροις παρυφισταμένοις τυγχάνουσιν, καὶ ἡ λειότης προσοῦσα τὴν κατὰ φύσιν ὑποσημαίνει πέψιν, κατά τι δὲ ἐνηλλαχότα, καὶ τὴν τῆς πέψεως ἀποτυχίαν ἐνδείκνυται. Καὶ εἰ μὲν λειότης ἄρα, ἣν δὴ τραχύτητά τις ἂν φαίη τῷ ἀντιθετικῷ ὀνόματι, τῇ λειότητι ἀποτυχίαν ἄν τινα κατηγορήσει τῆς πέψεως, φύσεως τινὸς ἀλλοτριωτέρας οὐσίας ἀνακεράσεως τὴν τοῦ παρυφισταμένου συνέχειαν, ὥσπερ αὖ τοὐναντίον τοῦτο. Γλίσχρον δ' αὖθις φαίη τοῦτο πολλὴν τὴν ἐκ τῆς παχυμεροῦς τε καὶ κολλώδους κατηγορήσει οὐσίαν, δι' ἣν καὶ πρὸς ἑαυτὰ συνέρχεται πυκνούμενα, ὅτε τοῦτο τύχῃ τὰ παρυφιστάμενα προσκαταγλισχραίνουσα ἡ τοιαύτη διαφθορὰ τῶν χυμῶν. Καὶ τὸ μὲν γλίσχρον ἐνταῦθα αὖθις τοῦ παρυφισταμένου λογίσαιτο. Νυνὶ δὲ ζητέον περὶ τοῦ τραχέος, καὶ τί τὸ διαιροῦν αὐτοῦ τὴν συνέχειαν. Τάχα γὰρ ἂν ἐνταῦθα καί τις ἕτερος ἀναφανείη λόγος οὐκ ἀγεννής. Ἐπεὶ τοίνυν ἐν ταῖς ἀκριβέσι πέψεσιν οὐδαμῶς μὴ τραχέα φαίνεται. Οὔτε γὰρ χυμοὶ κρατηθέντες καὶ παχυνθέντες ἀποχωροῦντες ἐκ τῶν κατὰ φύσιν ἀκμαζόντων ὑποφαίνονται, ἅτε τὰ νόθα καὶ διάφορα πνεύματα οὐδὲ τὴν ἀρχὴν λαμβάνουσι τῆς συστάσεως ὑπὸ τῆς φυσικῆς θερμότητος ἐκνικώμενα, δῆλον ἂν εἴη, ὡς κατά τι τῶν ἀποτυχούσης τῆς πέψεως, οἵ τε χυμοὶ ἀπεπτηθέντες καὶ τὰ πνεύματα σύστασιν ἰδίαν ἀπαιτοῦντα φανείη. Ἀλλ' ὁ μὲν περὶ ὠμότητος καὶ ἀπεψίας λόγος τῶν χυμῶν, πάλαι τῷ προτέρῳ λόγῳ ἀποδέδοται. Ὧδε δ' ἂν εἴη προσῆκον καὶ τοὺς ποθὲν ἐπικρατήσαντας νόθου πνεύματος ἀποδοῦναι λόγους, ἵνα ὥσπερ διὰ πάντων ἁρμόσοι καὶ πάσῃ τῇ πραγματείᾳ λόγος ὀρθός, καὶ τοῦτο τὸ ἀναγκαῖον αὐτὸ περιποιήσαιτο. Οἷόν τι τοίνυν ἐν τοῖς περὶ ἡμᾶς καὶ φαινομένοις τοιχαίοις γίνεται ἔξωθεν, κινεῖται γὰρ ἔν τε τοῖς σφοδροτάτοις ψύχεσιν, ἔν τε ταῖς ὑπερβαλλούσαις θερμότησι, τοιοῦτόν τι κἀπὶ τῶν ἡμετέρων τούτων σωμάτων. Ψύξεσι γὰρ μὲν κατεχομένων μεγίσταις καὶ τοῦ θερμοῦ ἡττηθέντος τελέως πῆξίς τις τῶν χυμῶν ἐκ ψύξεως ἐπιγίνεται, καὶ τὰ πνεύματα οὐκ ἀγείρεται μετρίως τινὸς εἰς τοῦτο δεόμενα τῆς θερμότητος, ὥσπερ δὴ τὰ κἀπὶ τῶν σφοδροτάτων καύσων καὶ ἄλλων διακαῶν ὅσον δή τινων πυρετῶν, ἀποβαλλομένης πάσης αἰτίας πνεύματος. Ἐπεὶ γὰρ μὲν ταῖς ἤδη τοῦ θερμοῦ ἀνακινήσεσιν, ὥσπερ διαμαχομένης τῆς φύσεως

καὶ τὰς

καὶ τοὺς χυμοὺς τῆς ψυχρᾶς διαλύειν τε καὶ πέψεως στερουμένης ἀπογεννᾶται πνεύματα διά-
φορα κατά τε τὸ ποσὸν καὶ τὴν σύστασιν. τὰ μὲν βραχείας τινὸς τῆς μεταβολῆς δεόμενα καὶ πέ-
ψεως, τὰ δ' αὖ μικροῦ τινὸς τῆς πάσης διαπεφευγότα τῶν πέψεων, ἤδη ἀπειραθέντα φαίνεται. Καὶ
τοῦτο μαθεῖν ἐστιν κἀπὶ τῶν ὁσημέραι γινομένων ἐν ταῖς περὶ ἡμᾶς τοῦ καταστήματος ἀλλοιώσεσιν.
Ψύχους μὲν γὰρ προεπιγεγονότος σφοδροῦ καὶ ὑετῶν, καὶ χιόνων πάμπαν μὲν καθεστάντων
τά τε πνεύματα ὀκνηρὰ φαίνεται: μηδ' ὁποθενοῦν ἀρχῆς κινήσεως προεπιγεγονυίας πάμμεγ-
αλος, καὶ πῆξίς τις ἐπιλαμβάνει τὰς ἐπιπολαζούσας ὕλας τὰ πνεύματα. Ἐπειδὰν μὲν τὸ μὲν
φυσικὸν θερμὸν ἐπιλάμψαι καὶ κρατεῖν ἤδη τῆς ὕλης ἄρχεται, ἤδ' ἐν τῆς πήξεως συνέχεια
λύεται: τὰ πνεύματα τὴν σύστασιν ἀπολαμβάνειν εἴωθεν κατὰ τὸ μέτρον τῆς ὑποκειμένης ὕ-
λης, καὶ τὸ κῦρος. εὐθύτως τοῦ παντὸς διαθρύπτουσιν. Καὶ μέτρια μὲν ὄντα τοῦ θερμοῦ πάνυ κεκρ-
ατηκότος γίνεται πνεύματα. Πλείω δὲ καὶ ὑπὲρ τὴν τῆς θερμότητος ἐπικράτειαν διωθοῦντα μὲν βρα-
χύ τι, ὅσον εἰκὸς πρὸς ἑαυτὰ δὲ συστάντα τε καὶ παχυνθέντα, τῇ τε πνοῇ ἀλλοτριοῦνται, ὥσπερ δ' αὖ
ἐπὶ ὑγρῶν χειμῶνα πλείονος τῆς παρασκευῆς δεόμενον ἐς διάλυσιν, καὶ οὕτως ταῖς καθ' ἑκάστην
μεταβολαῖς διάφορά τε καὶ τὰ καταστήματα γίνεται. Ὃν μὲν οὖν λόγον τὸ περιέχον τοῦτο, καὶ ἡλ-
ιακὸν θερμὸν πρὸς τὰ περὶ ἡμᾶς στοιχεῖα κέκτηται τὸν αὐτὸν, καὶ τὸ περὶ τὴν καρδίαν ἔμφυτον πῦρ
πρὸς τὰς τῶν ἐν ἡμῖν διαφόρων χυμῶν οὐσίας.

Κεφ. β.
Περὶ αἰτίας γενέσεως τῶν νόθων πνευμάτων.

Ἀλλ' ἐπειδήπερ ταῖς μὲν κατὰ φύσιν καὶ προσηκούσαις πέψεσι, τὰ ἔμφυτα καὶ φυσικὰ ἀπογεννᾶ-
ται πνεύματα, ταῖς δ' αὖ ἀποτυχίαις τῶν πέψεων, τὰ νόθα τε καὶ λυποῦντα γίνεται πνεύματα.
τὰ δὲ τὴν συνέχειαν τῶν παρυφισταμένων λύοντα πνεύματα, τά τινα ὑποσημαίνεται νόθα καὶ
διεφθορότα. τυγχάνειν εἰκότως ἂν εἴη ἡ τῆς συνεχείας ἐν τοῖς παρυφισταμένοις διάλυσις,
ἀτέλειάν τινα καθυστέρησιν τῆς πέψεως. Κἀπὶ τοσοῦτο δ' ἂν προβαίη ἡ διάλυσις καθ' ὅσον
ἂν ἐπικρατείας καὶ τὸ πνεῦμα τεύξηται, Ὥσπερ κἀπὶ τῶν διεζεσμένων ὑγρῶν ἔνια, πνεύματος ἐπιση-
μαινόμενα κίνησιν.

Κεφ. γ.

Κεφ. γ.

Περὶ αἰτίας γενέσεως τῶν φαινομένων πομφολύγων.

Ἐπεὶ δὲ τά τε διαλελυμένα καὶ μετεωριζόμενα παρυφιστάμενα, καὶ αἱ οἷαι δή τινες τοῖς οὔροις ἐπινηχόμεναι πομφόλυγες διά τι πνεῦμα γίνεται νόθον, προσήκει καὶ τὰς ἐπὶ τούτοις ἀποδοῦναι αἰτίας. Ἐκεῖνο τοίνυν χρεὼν μεμνῆσθαι, ὡς οὔτε τὰ αὐτὰ ἀεὶ ποσὰ τῶν πνευμάτων, οὔτε αἱ αὐταὶ ποιότητες, τὰ μὲν γὰρ πλείω, τὰ δ' αὖ ἐλάττω, καὶ τὰ μὲν λεπτότερα, τὰ δ' αὖ παχύτερα, καὶ τὰ μὲν ἔστιν ψυχρὰ, τὰ δ' αὖ θερμὰ, καὶ προσεπιμιγνύναι ταῦτα χρεών. Τὰ μὲν ἔσται πολλά τε καὶ παχέα καὶ ψυχρά· τὰ δ' αὖ πολλά τε καὶ παχέα καὶ θερμὰ, ἄλλα δ' ὀλίγα καὶ παχέα καὶ ψυχρὰ, ἕτερα δ' ὀλίγα καὶ παχέα καὶ θερμά. Εἴ γε μὲν ἐπιδιαιρῶν τὸν λόγον τά τε πολλὰ ἐπιδιαλέγοις καὶ ὀλίγα, μέτρα καὶ ὁρισμοὺς αὐτοῖς ἐπιθεὶς· τά τε παχέα, ἢ λεπτὰ, καὶ πρὸς τούτοις τάτε θερμὰ καὶ ψυχρὰ, πολλὰς ἂν εὕροις συμπλόκων διαφορὰς τῷ λόγῳ· ὥστε καὶ πεπληγμένος ἐνταῦθα τὰς ἐπὶ τοῖς παρυφισταμένοις μὴ τὸν εἰκαῖον ἀπέχοι τόπον, καὶ τὰς ἐπὶ ταῖς διαφοραῖς τῶν πομφολύγων γνοίης ἂν αἰτίας. Τὰ μὲν οὖν παχύτατα τῶν πνευμάτων ταῖς πομφόλυξιν ἐπιφαίνηται μᾶλλον· τὰ δὲ λεπτότερα ταῖς τῶν παρυφισταμένων διαστάσεσιν. Ὥσπερ καὶ αἱ ποσότητες τούτων ταῖς τε τῶν πομφολύγων ἀναλογοῦσιν ποσότησιν, καὶ ταῖς τῶν παρυφισταμένων ἀπὸ τοῦ πυθμένος ἀποστάσεσι καὶ ταῖς ἐπιπλέον διαστάσεσιν. Αἱ δὲ δὴ ποιότητες συνεπιμαρτυρηθεῖεν ἂν γ' ἀπὸ τῶν ἐπὶ τοῖς χρώμασιν συνεπιμαρτυρουμένων ποιοτήτων. Καὶ γνοίης ἐπανελθεῖν πλέον, ὡς οἷόν τε τὸν λόγον, καὶ διασαφηθέν εὐθέως.

Κεφ. δ.

Περὶ αἰτίας τῶν κατὰ διαφέροντας τόπους παρυφισταμένων.

Τῶν εἰσιόντων τροφῶν ἐν τῷ σώματι, αἱ μὲν τῇ πρώτῃ καθομιλήσασαι πέψει, ἢ ἔτι πνεύματος εἶναι αὐταῖς ἀπολείπεσθαι τῇ φυσικῇ ἀλλοιώσει ἐφαρμόττει. Ταῖς δ' αὖ αἱ τοῦτο καὶ δευτέρας πέψεως ἐδέησαν, ἔτι μᾶλλον ἀναπεπληρωμένον κεκρατημέναις τὸ πνεῦμα. Ἐνίαις δ' αὖ, καὶ τῆς τρίτης πέψεως, ὅσαι δὴ τὰ πάμπαν ὠμὸν καὶ φθαρτικὸν μικροῦ δεῖν ἀπογεννῶσι χυμόν. Οὕτω δὴ κἀπὶ τῶν ἐν γαστρί τε καὶ φλεψὶν καὶ πορρωτέρω, ἔτι χυμῶν δεῖ σκοπεῖν. Ἐπειδὰν οὖν τι περὶ τὴν πρώτην πέψιν γεννηθῇ πνεῦμα, καὶ τὴν ἔξοδον

ζητοῦν,

ξηλοῦν, πλανώμενον συνδιακρίνει τοῖς οὔροις, λεπτὸν μὲν ὂν καὶ μέτριον πομφόλυγας τινὰς ἐπιφυσῶσαν τῇ τοῦ οὔρου ἐπιφανείᾳ ἅμα τῷ ἐκχυθῆναι τὸ οὖρον καὶ ταύτας διασκεδασθὲν διέλυσε ἀπὸ βραχύτητος ἀρχῆς τῆς τοῦ πνεύματος ἐπιγενομένης συστάσεως. Παχυτέρου δὲ καὶ πλείονος συνεκκριθέντος τοῦ πνεύματος, καὶ τὸ ὑγρὸν κινήσαντος, καὶ συστρέψαντος ἐπιτηδείως ἔχοντος, πομφόλυγας μὲν ἐγείροντο περὶ τὴν ἀσπίδα, οὐκ ἔφθασαν δὲ διαλυθῆναι μὴ διαπνευσθέντος ἀλλ' ἐν ἐμπλησθέντος τῇ παχυμερείᾳ τοῦ πνεύματος· καὶ αἱ μὲν πομφόλυγες τῶν κατὰ γαστέρα μᾶλλον πνευμάτων γινομένων σύμβολα. Ὅσα δὲ πνεύματα περὶ τὴν ὑπόστασιν ἐπικρατοῦντα φαίνεται πάθη, τὰ παρυφιστάμενα τοῦ πυθμένος κατὰ λόγον· ὥσπερ καὶ τὰ ἔτι παχυμερέστερα περὶ τὸ τοῦ σώματος βάθος διασκεδάννυσι ἤδη καὶ τὰ παρυφιστάμενα κατὰ τὴν τῆς ἐπικρατείας ἀναλογίαν ἐπὶ τὸ πλεῖστον γε μὴν ταῦτα καὶ ἀτρεμῆ συναναφαίνεται πάθησιν, καὶ διὰ βάθους μᾶλλον χωρεῖ. Ἐπί γε μὴν τῶν ὠμῶν καὶ ἀπέπτων παρυφισταμένων, πεπηγμένων, μετεωρίζονται τὰ παρυφιστάμενα, τοῦ πλείονος θερμοῦ πλείονα μὲν διαλύοντος πεπηγυῖαν ὕλην, οὐκ ὀλίγα δ' ἀπογεννῶντος πνεύματα, πλειόνων δὲ γινομένων πνευμάτων. Ἀλλὰ ἐπειδὰν ὑπάρχῃ μὲν ἡ ἔμφυτος καὶ πεπτικὴ δύναμις, ἡ δ' ἄπεπτος ἐπιτύχῃ καὶ ὠμὴ καὶ δυσκατέργαστος ὕλη, ἤδη μὲν ὑποκαταβαίνειν ἄρχεται τὰ παρυφιστάμενα, τῶν πνευμάτων μειουμένων, τάχα δὲ καὶ διατμηθέντων, ὑφιζάνει πρὸς τὸν πυθμένα. Οὐ καινὸν δ' ἂν εἴη ταῖς τοπικαῖς ἐπισημασίαις καὶ τοὺς πεπονθότας τόπους ὑποσημαίνειν. Τοῦ γάρ τοι διαστήματος τοῦ χρώματος κατὰ τὴν τοῦ ὅλου σύμπλωσιν ἐκπονιζομένου ἰδίως, καθ' ἃ δὲ ἂν μέρη τοῦ χρώματος, τὰ παρυφιστάμενα ταλαίπωρον τὸν οἰκεῖον τόπον, ἐν περιαγοῦντα καὶ τοὺς τόπους ἐκείνους μᾶλλον τοῦ σώματος πεπονθέναι δηλοῖ, καὶ εἰκότως. Τὸ γάρ τοι νόσον τοῦτο καὶ φθαρτικὸν πνεῦμα καθ' ὅσον ἂν ἡ κρατούμενος ἀρξάμενον, ἐκεῖνον ὂν ὑφίσταται καὶ ἀποκρίνεται ἐκεῖθεν, ὑπὸ τοῦ ἐκεῖνος ὠθουμένου πνεύματος. Καθάπερ κἂν ταῖς κατὰ πλάτος τοῦ χρώματος τοῦ παρυφισταμένου διαλύσεσι τὰς κατὰ πλάτος ἀλγηδόνας τοῦ σώματος δηλοῦσιν ἐπιπλανωμένας γινομένας, καθὼς κἀν τοῖς περὶ διαγνώσεως οὔρων λέλεκται. Τοῦ γάρ τοι πνεύματος τὴν ὕλην ἀποσυρομένου, καὶ μᾶλλον εἰ τύχοι παχεῖα τις οὖσα καὶ ἄπεπτος, ἐν διαπλανηθείη κινουμένη ἐς ἅπαν τὸ σῶμα, βάθος μὲν ἐπάγεται τῷ πάθει ταῖς σαρξίν· ἄλγος δὲ τῇ τε κινήσει τοῦ πνεύματος, καὶ τῇ τοῦ ἐπαγομένου ἀλλοτριότητι. Καθάπερ καὶ ἐπὶ τῶν πομφολύγων ἀλγηδόνας κεφαλῆς ἢ νεφρῶν δηλοῦσι, καὶ προσέτι καθάρσεις ἐς πνεύμονα.

Καὶ περὶ ἄλλως περὶ οὐσίας πνεύματος, ἢ ποία μὲν αὐτῶν θέσις τὰς διαγνώσεις ἀπέδωκεν· ὁ δὲ λόγος νῦν ἐπιθήσει καὶ τὰς αἰτίας. Ὅτι μὲν οὖν ἕκαστον τούτων, ὑφ' οἷς δή τινος ἀσκοπούμενος τῆς φυσικῆς πνεύματος ἐπιγίνεται, αὐτά, φησί, δείξει τὰ πράγματα· ὥσπερ γὰρ ὑφ' οἵας δή τινος κινήσεως παρὰ φύσιν πνευμάτων γινομένων κἄν τε ζέωσιν αἱ ὑποκείμεναι ὗλαι δηλονότι, κἄν τε ἄλλως κινῶνται. Καὶ

μαρτυρήσουσι τῷ

μαρτυρήσουσι τῷ λόγῳ, τά τε ζέοντα τῶν ὑδάτων, καὶ πομφόλυγας ἐντεῦθεν ποιοῦντα, τά τε ψυχρὰ κινούμενά ποθεν. Αἰτίων ὥσπερ γαλήνη περιθραύουσι τὴν τῆς ἀμίδος ἐπιφάνειαν πομφόλυγας, μικραὶ μὲν οὖσαι, καὶ πρὸς ἀλλήλας συνεπτυγμέναι, ὑπὸ παχύτητος καὶ μὴ ῥαδίως διαφορητὰ γίνονται πνεύματος· τῷ μὲν οὖν, ἐπὶ τὴν ἐπιφάνειαν ἄνω χωρεῖσθαι, περὶ τὴν κεφαλὴν ἀναλόγως δηλοῖ κεχωρηκέναι τὸ πνεῦμα· τῷ δ' ἄνω παχὺ καὶ γλίσχρον εἶναι ὡς μὴ μετεωρίζειν τε καὶ μαραίνειν τὰς πομφόλυγας ἔτι προσυλον εἶναι μαρτυρεῖ τὸ πνεῦμα, καὶ μὴ ῥαδίως διαφορούμενον. Καθόσον μὲν αἱ πομφόλυγες μετεωρίζονταί τε καὶ ἀπαντλαίνονται ἐπὶ τὴν ἐπιφάνειαν ἀφίζανε, μὲν ἤδη τῆς ὕλης διαφορούμενον τὸ πνεῦμα· τὰς δὲ ἀλγηδόνας ἀμαυροῦσθαι λέγομεν καὶ μᾶλλον ἐπὶ ψυχρότητος κατηγορεῖται τοῦ πνεύματος. Οὐ γὰρ ῥαδίως εἴωθεν ἀπάγειν ἄλγη τὰ ψυχρὰ τῶν πνευμάτων. Ἐπειδὰν μέντοι καταρρυείσης τῆς τὰ πνεύματα ἐπαγαγούσης ὕλης τῷ πεπάρθαι ἤδη ἐπινήχονται μὲν περὶ τὰ μέσα τῆς ἐπιφανείας ἐπισυνηγμέναι πομφόλυγες, ἔτι δὲ καὶ γαλήνη πομφολύγων ἐπινήχεται, μηδέν τι ἀδυνατεῖ ἔτι διασημαινομένη καταρρυείσης ἤδη τῆς ἐμπνευματωμένης ὕλης, καὶ μάλιστα ἂν περὶ τὸν πνεύμονα ἡ κάθοδος γίνηται. Τότε δή τοι ἡ καταρρυεῖσα ἐν τῷ περὶ τὸν πνεύμονα, συνδιασπαρεῖσα πνεύματι, ἢ μᾶλλον τῇ φύσει τῷ δὲ διαιρεῖσθαι κρατησάσης ἤδη τῆς (ὕλης) φύσεως, ἐκκρίνεται μέν, ἐπιφέρεται δὲ τῇ πρὸς τὸ μέσον ἐπινηχομένῃ πομφόλυγι. Τῆς αὐτῆς δ' αὖ κινήσεως περὶ νεφροὺς καὶ κύστιν γινομένης, ὅταν ἔτι δή τινος συμβάσης στενοχωρίας πνεύματά τε ἐπιγίνονται, καὶ πομφόλυγας ἐπεγείρονται. Οὐ μείονος δὲ κινήσεως περὶ τὰ σπερματικὰ ἀγγεῖα γινομένης, καὶ πνεύματος ἐντεῦθεν γεγονότος, καὶ συνεκκριθέντες τοῖς οὐρητικοῖς ἀγγείοις. Ἀλλὰ μίγνυται μὲν αὐτὰ τοῖς οὔροις ἐκκρινομένοις δέ, ἐπιφαινομένης δὲ ἐπιφαίνεται πυκνότητας ἀγείροντα, ἐπιφαίνεται μέντοι ὡς ἄνιθα, καὶ οἷον τριχία, ἃ τῆς γονῆς αὐτῆς ἀπορρύγματα, ἢ τῶν νεφρῶν συνδιαθερμανθέντων συντήγματα. Καὶ δὴ καθόσον μὲν αἱ πομφόλυγες μείζους τε καὶ πυκνότεραι, καὶ πρὸς μόνην τὴν αὐτὴν γαλήνην περιέχωσι· πλείω τε καὶ κραταιότερα καὶ λεπτότερα τὰ πνεύματα ὑποδείκνυται, ἅτε ἔτι προσεχόμενα τῇ ὕλῃ. Καθόσον δ' ἂν τἀναντία τοῖς ῥηθεῖσι γίνηται, καὶ ἡ τοῦ πνεύματος ἀσθένειά τε καὶ διαφόρησις ἐλέγχως διαγινώσκεται. Ἀλλ' ὁ μὲν περὶ πνεύματος λόγος οὗτος ἀποδοθείς, ὧδέ πῃ καὶ κείσθω. Ἱκανὸν γὰρ ἤδη δείξων τὸν σκοπὸν καταστοχαζόμενον καὶ τὰ λείποντα προσεξευρίσκειν τῷ λόγῳ.

Κεφ. ε.

Κεφ. ε.

Περὶ αἰτίας τῶν κατὰ τὴν ἐπιφάνειαν αἱματοχρόνων στεφάνων.

Ῥητέον δὲ ἀφεξῆς καὶ περὶ τῶν διαφόρων περὶ τὴν στεφάνην αἱματοειδῶν χρωμάτων. Ἐπεὶ τοίνυν παντὸς οὔρου τῆς αἱματοειδοῦς συστάντος οὐσίας, τὸ παχύτερον χωρεῖν πρὸς τὸν πυθμένα πέφυκεν, ἀνάγκη ἄρα τὸ λεπτότερον ἐπινήχεσθαι. Ἐπεὶ δ' ἐν ἄλλοις δέδεικται τὰ λεπτότερα τὰ λίαν εὐπαθῆ, ῥᾳδίως μὲν ὑφ' οἵας δήτινος αἰτίας ἐλλειπόμενα, προχείρως δ' αὖ διάδηλα γινόμενα. Ἐνταῦθ' οὖν ἀντιρρέπων μὲν τῇ δυνάμει τῶν λεπτῶν χυμῶν παχυνόντων, καὶ ἰσοδοτούντων χυμῶν τὰ οὖρα χρωννύντων, οὐδεμία τις ἐπίδηλος στεφάνη διαφαίνεται. Νικώσης τῆς δυνάμεως, καὶ τὰ χρώματα τῆς στεφάνης καθ' ὅλου ἐναργῆ φαίνεται, ὁπόταν δηλαδὴ τὰ οὖρα προσφυῶς ἔχει στεφάνην περιστᾶν. Καὶ ταῦτα μὲν οὕτω.

Κεφ. ϛ.

Περὶ αἰτίας τῶν ἀνυποστάτων Οὔρων.

Ἐπεὶ δὲ καὶ τῶν οὔρων τὰ μὴ καθιστάμενα παρυφιστάμενα μεγάλην μὲν τὴν ἀποτυχίαν τῆς πέψεως δεικνύουσιν, ἐπ' ἀξιολόγοις δὲ ταῖς αἰτίαις δείκνυνται, χρεὼν ἂν εἴη καὶ τὰς ἐπὶ τούτοις αἰτίας ἐπιθεῖναι τῷ λόγῳ, οὐκ ὀλίγως λυσιτελούσας ταῖς διαγνώσεσιν. Τὰ τοίνυν δι' ἐσχάτην τὴν ἀπεψίαν ἀνυπόστατα τῶν οὔρων γινόμενα, δι' αὐτὸ μὲν τοῦτο τὸ μὴ πεφθῆναι τὴν ὕλην ἄνευ παρυφισταμένου γίνεται· συνεπιμαρτυρήσει δὲ, τά τε χρώματα καὶ αἱ συστάσεις. Ἐπεὶ γάρ τοι τὸ παρυφιστάμενον δέδεικται περίττωμά τι ὂν τῆς τρίτης πέψεως, ἂν μὴ ὀφθείη τὴν ἐπὶ ἐκείνῳ στάσιν ἠτυχηκέναι δηλώσει. Οὔπω μὲν γὰρ πέψις ὕλης καὶ περιττώματός τινος ἀπόκρισις γίνεται. Οὐ γάρ ἐστιν οὐκ οὔσης πέψεως γινομένης, μήτε καὶ περιττὸν ἀποκριθῆναι, ὅπῃ δ' ἂν ἡ πέψις μὴ ἐπιχειρήσασα ᾖ, οὐδ' ἂν τὸ ἐπὶ τῇ πέψει περιττὸν ὀφθείη. Ἔμφραξις μέν τοι ἀξιόλογος ἀκριβεστέρα διυλίζουσα τὰ οὖρα οὐκ ἀπεικότως ἂν ἐπίσχοι τὰ παρυφιστάμενα, παχύτερα τοῦ χύματος, κατὰ τὸν τῆς ἀναλογίας λόγον τυγχάνοντα, ὅπερ καὶ αὐτὰ τὰ χύματα τότε λεπτότερα τοῦ δέοντος προΐεται. Ἐπεί γε μὲν ταῖς ἐνδείαις τε καὶ ἀτροφίαις, ἡ φύσις ἀπορεῖσα χυμοῦ τοῦ θρέψοντος,

ἐλλείπει

ἐλλείπει καὶ καλὰ τὰ παρυφιστάμενα. Τῆς γάρ τοι θρέψεως μὴ προηγησαμένης, οὐδ' ἂν [illegible] ἐπὶ ἐμμαίνοις περιττὸν [illegible]. Διὰ ταῦτα δὴ ταῦτα, κἀπὶ τοῖς ἀξιολόγοις τῆς γαστρὸς χρονίαις κα=νώσεσι, ἀντιπέζειν τὰ οὖρα φαίνεται, ἤτοι [illegible] τὴν ὁρμὴν τῶν περιττωμάτων [illegible] ἢ διὰ τὴν κάκωσιν, ἀτονίας τινὸς [illegible] τῇ πεπτικῇ δυνάμει. Ἐπειδὴ [illegible] καὶ διὰ διαφθορὰν τῆς ὕλης πλείω ἀφ' ἧς μηδέν τι προσλαβέσθαι, αὐτὸς τὴν φύσιν. Ὅπη μὲν γὰρ ὕλη=πρόσφερος καὶ θρέψις ἂν ἀπηλάνοιτο, καὶ περιττῆς τινος ἐπὶ τοῦτο ὡς εἴρηται [illegible], ὅπη δ' ἂν ὕλης [illegible] ἐνδέει, ἢ τῷ μὴ προσεῖναι, ἢ τῷ προσοῦσαν πάμπαν διαφθαρθεῖσαν [illegible] [illegible] οὐδ' ἂν [illegible] περιττὸν τὸ ἀπὸ θρέψεως [illegible] [illegible]. Οὐχ ἧττον μέντοι καὶ διὰ συναγωγὴν παντελῆ ὕλης [illegible] φλεγμονῆς καί τινες [illegible] διαθέσεως ἐπὶ [illegible] πλεῖ=ον [illegible] ἂν τὰ [illegible] τοῖς αἱμαίνουσι χυμοῖς [illegible] χρόνῳ παρυφισταμένων [illegible] τὰ ἀναφερόμενα. Ὅπη γὰρ [illegible] πλεονάζουσα [illegible] [illegible] [illegible] καὶ οἱ πλείους τῶν χυμῶν [illegible] [illegible] καὶ τὰ [illegible] συναφθήσονται. Καὶ τοῦτο μαθεῖν ἐστιν ἀπὸ τῶν [illegible] γινομένων [illegible]. Καὶ γάρ τοι [illegible] μετὰ [illegible] τινὸς φλογὸς [illegible] οἷον δή τινι [illegible] τὰ [illegible] [illegible] τά τε παρακείμενα καὶ τὰ πόρρωθεν, κἂν ὁποίας ἄρ' ὄντα [illegible] [illegible] τῇ [illegible] ἐπιγινομένας [illegible] μέθοδος. Εἰ τοίνυν τοσαῦτα ἀποδείξειεν [illegible] [illegible], [illegible] ἂν εἴη μᾶλλον πλείω καὶ [illegible] φλεγμονή, καί τις [illegible] διάθεσις [illegible] [illegible] [illegible] αἴτιος. Ἄλλως τε καὶ [illegible] [illegible] [illegible] διωκομένης διὰ τὴν ἐπιγινομένην τῷ μᾶλλον ἀτονίαν ἐπὶ τῇ [illegible] τῆς [illegible]. Πέφυκε γάρ τοι καὶ τοῦτο ἢ οἷον δή τινα λόγον [illegible] μορίου, ἀκαιρότερον πᾶν ἀχρεῖον [illegible] ὠθεῖσθαι. Ἐπεὶ γὰρ τὸ πεπονθὸς μὴ τὴν προτέραν [illegible] δύναμιν ἐπιτηδειοτέραν τῆς ὕλης ἀποφορᾷ [illegible], οὐ μόνον οὐκ ἀποδέχεσθαι τῶν ἐπιρρεόντων τὴν ὕλην ἀλλὰ καὶ τῶν προσηρτη=μένων, ἀποδέχεσθαι τὴν [illegible] ὡς [illegible] ἀπαγορεύουσαν δύναμιν. Ἀλλ' ὁ μὲν περὶ ἀνυποστά=των οὔρων λόγος [illegible] οἶμαι [illegible] τε νῦν ἀφαίδω. Δεῖ γὰρ καὶ τὸ μὴ τοὺς λόγους [illegible]=ναι παραθηρεύσθαι. Ἡμεῖς δ' ὥσπερ ἀφ' ἑτέρας ἀρχῆς ἀρξάμενοι, λέγωμεν δι' ἅς τινας δηλονότι αἰτίας, ἑτεροῖα τὰ οὖρα ταῖς τε διαφόροις ἡλικίαις ἀποδίδονται, ὥραις τε καὶ χώραις καὶ τρόποις οἷοις [illegible] ἑτέροις, καθά, κἂν τοῖς περὶ διαγνώσεως οὔρων λέλεκται· οὕτω γὰρ ἀποδοθέντος τοῦ λόγου [illegible] ἂν αἴτιον οἶμαι, καὶ ὁ περὶ αἰτίας οὔρων ἀπολάβη λόγον, καὶ αἱ ἐπὶ [illegible] θέσεις ὥσθ' ἂν τὸ [illegible]=στον τῶν αἰτιῶν ἀποδοθεισῶν ἀπολάβοιεν. Ἵν' οὖν μὴ νωθρός τις λόγος δόξῃ καὶ δυσκατάληπτος [illegible]=

[illegible] καὶ

-θήσομεν καὶ τὰ ἐπὶ τοῖς περὶ διαγνώσεως διωρισθέντα λόγοις κεφάλαια ἵν' ὅπως ἐπὶ ἐκείνοις τὰς αἰτίας κατασκευάζοντες δι' ἀλλήλων τὰς πίστεις παράσχοιμεν τοῖς συνδέξεσιν.

Κεφ. ζ.
Περὶ αἰτίας τῶν κατὰ τὰ γένη καὶ ἡλικίας οὔρων.

Ἀνδρῶν οὖν ὑγιεινῶς ἐχόντων οὖρα ὑπόπυρρά τε καὶ ὑπόξανθα καὶ συμμέτρως ἔχοντα κατά τε σύστασιν καὶ παρυφιστάμενα καὶ τούτου μὲν ἀποδέδοται ἡ αἰτία τὰ καθ' ἕκαστον ἐν τῷ πρὸ τούτου λόγῳ διωρισμένοις. Ἔνεστι γε μὴν κἀνταῦθα βραχέα φάναι τὸν λόγον ἐπαναλαμβάνοντι. Ἐπεὶ γάρ τοι δέδεικται ταῖς συμμέτροις πέψεσι τοῦ αἵματος καὶ τὴν χολὴν συμμέτρως ἀποδίδοσθαι κατὰ χροιὰν ἤτοι ξανθὴν ἢ πυρρὰν δηλονότι, εἰκότως ἐν τῷ ὑπ' αὐτῆς ἑκάστοτε διαδιδομένῳ χυμῷ ξανθῷ τῷ χρώματι, καὶ τῇ τοῦ ὀρροῦ ἐπιμιξίᾳ χυμοῦ ὑπόπυρρά τε καὶ ὑπόξανθα τὰ οὖρα ἀποδείκνυται, συμμέτρως δὲ ταῖς συστάσεσιν ἀμφιβαίνει ταῖς πέψεσιν, λευκὰ δὲ καὶ λεῖα καὶ ὁμαλὰ καὶ πρὸς τὸν πυθμένα χωροῦντα τὰ παρυφιστάμενα γεγονότα, καὶ τὴν ἐπὶ τῆς τρίτης πέψεως προσήκουσαν ἀλλοίωσιν μαρτυρεῖ. Ἐπεὶ δὲ τῶν ἀκμαζόντων τε καὶ ὑγιεινῶς ἐχόντων τὰ οὖρα ὁποῖα εἴη, καὶ πάλαι μὲν λέλεκται, καὶ αἱ τούτων ἀποδέδονται αἰτίαι, καὶ νῦν δι' αὐτῶν ἐπιμνήσθημεν ὅσον εἰκὸς ἦν. Προσῆκον δ' ἂν εἴη καὶ τῶν λοιπῶν ἐπὶ ταῖς διαγνώσεσι ῥηθέντων ἐφάψασθαι, ἵν' ὅπως καὶ τῶν αἰτιῶν ἀποδοθεισῶν ἄρτιος ἡμῖν ὁ λόγος ἀποδοθείη. Γερόντων τοίνυν οὖρα πρὸς τὸ λευκὸν ἤδη χωροῦντα φαίνεται, ὑπόλεπτα, τὴν σύμμετρον διαφεύγοντα σύστασιν καὶ μείω τὰ παρυφιστάμενα, καὶ οἷον ἄνικμα ἔχοντα. Παίδων δὲ κομιδῇ νέων, τῷ μὲν χρώματι ὀλίγον τῶν τε ὑποπύρρων καὶ ὑποξάνθων δέουσι, μικρὸν δὲ δεῖν ὑπερβάλλουσι τῇ συστάσει τῶν ἀκμαζόντων, πλείω δὲ τὰ παρυφιστάμενα ἔχουσιν. Ὁ μὲν οὖν ἐπὶ διαγνώσει λόγος τοιοῦτος εἴρηται ἀπεδόθη, τὰς δ' αἰτίας ὧδε καταμανθάνειν. Ἐπεὶ τοίνυν ἡ τῶν γερόντων ἡλικία, καθ' ὅσον ἂν προίῃ ἐπὶ τὸ ψυχρότερον ῥέπει, εἰκότως ἄρα καὶ τὰ οὖρα λευκά τε καὶ λεπτὰ ἀποδίδωσι, τῆς μὲν ξανθῆς ἤδη μαραινομένης χολῆς, τῆς δὲ πέψεως ἐλαττουμένης τε καὶ ἀμαυρουμένης τῇ τῆς ψύξεως ἐπικρατείᾳ. Διὰ τοῦτο οὖν εἰκότως καὶ τῆς θρέψεως γινομένης βραχείας, καὶ τὰ παρυφιστάμενα μείω φαίνεται τῇ τῶν τρεφόντων ἀναλογοῦντα χυμῶν προσλήψει, ἐπεὶ γὰρ ἐκεῖνοι μόλις εὕρηνται τοῦ τε τὴν ἀνάδοσιν ἀπημαυρῶσθαι, τῷ τε τὴν πέψιν ἠτονηκέναι δηλονότι, ἐλάττω τε καὶ οἷον ἀπεπτήματα φαίνεται τὰ παρυφιστάμενα. Τῶν γε μὴν παίδων, πολὺ τυγχάνον τὸ φυσικὸν καὶ ἔμφυτον θερμὸν μετὰ πλείονος τῆς φυσικῆς ὑγρό-

-τος τὰ μὲν

τοι τὰ μὲν χρώματα τῶν οὔρων ἐκλείποντά πη, τῶν ἐπὶ τοῖς ἀκμάζουσι παραβάλλεται. τῇ πλείονι ἐξυδατώσει τῆς φύσεως. τῷ δὲ καταπλεονεκτηκέναι τὴν ἔμφυτον θερμότητα, λεαίνει καὶ τὴν σύστασιν ἀποδοθῆναι γέγονεν τὴν ἐπιεικῆ. Ἡ γὰρ παίδων ἔμφυτος θερμότης πραΰτερα καὶ τὰς πέψεις ἀπεργάζεται. Ἡ μὲν γὰρ τῶν ἀκμαζόντων θερμότης πλείων οὖσα τῇ ποιότητι, ἤδη γὰρ πρὸς τὸ δριμύτερον κεχώρηκεν, καὶ τὰ χρώματα ταῦτα εἰς πλάττειν ἀποδίδωσιν. Ἡ δὲ τῶν παίδων, μᾶλλον τῇ ποσότητι διαλάμπουσα κατὰ τὴν σύστασιν τῶν χυμῶν καταπλεονεκτήκει. Οὐ θαῦμα δ᾽ εἰ πλείω τούτων τὰ παρυφιστάμενα φαίνεται, πλείονος καὶ τῆς τῶν χυμῶν καθυγρασίας γινομένης. Ἐπεὶ γὰρ, καὶ ἄλλως μὲν ἀδηφαγοῦσιν οἱ παῖδες, ὡς συμβαίνειν πλείω ἐντεῦθεν τὰ περιττώματα γίνεσθαι, οὐ μεῖον δὲ καὶ διὰ τὴν τῆς θρέψεως ἐνάργειαν ἐπιδαπανωμένων τῇ χρείᾳ. Δεῖ γὰρ ὕλης εἰς τροφὴν τῷ θερμῷ, καὶ εἰς τὴν τῶν μελῶν ἐπίδοσιν πλείω καὶ τὰ παρυφιστάμενα φαίνεται τῶν γερόντων τε, καὶ ἀκμαζόντων. Καὶ ὁ μὲν κατὰ τὰς ἡλικίας λόγος ὡδέ πη καὶ ἔχω ἱκανῶς ἐξετάσαι· νῦν δὲ καὶ περὶ λοιπῶν ζητέον. Γυναικῶν οὖν οὖρα ἀκμαζουσῶν, καὶ ἐν τοῖς πλείοσιν ὑγιαινουσῶν συμμέτρως, ἐκλείποντά περ τοῦ τε ὑποπύρρου καὶ ὑποξάνθου, καὶ διαφανέστερα πως τῇ συστάσει φαίνεται, πλείω γε μὴν τὰ παρυφιστάμενα τῶν ἀνδρῶν ἔχοντα, ταύταις μὲν οὖν διαγνῶσιν τὰ οὖρα τῆς γυναικὸς διακρίνεται, αἱ δ᾽ αἰτίαι προσταθεῖσαι βεβαιώσουσι τὴν διάγνωσιν. Τὸ τοίνυν φῦλον τῶν γυναικῶν ὑγρότερον καὶ βραχέσι γυμνασίοις χρώμενον, ἔτι τε καὶ ὁ φύσιν ἔχον τὴν φυσικὴν θερμότητα τῇ τῶν ἀνδρῶν παραβαλλομένην, ἀσθενεῖς μὲν τὰς πέψεις ποιεῖται, ἀβροχρόα δὲ τὸ ξύμπαν καθίσταται πως. Ταῦτά τοι καὶ ὑπόλευκα μὲν τὰ οὖρα προβάλλεται καὶ ὑπόλευκα, μὴ ἀκριβῆ καὶ ἴσην τὴν τῶν ἀνδρῶν πέψιν δεχόμενα, πλείω δὲ τὰ παρυφιστάμενα διὰ δύο οἶμαι αἰτίας συνιέναι, τῇ περιουσίᾳ τῆς φυσικῆς ὑγρότητος, καὶ τῆς ἀσθενοῦς πέψεως τῶν περιττωμάτων πληρουμένων, πλείω καὶ τὰ παρυφιστάμενα. Ὡς ἐντεῦθεν αὖθις σκοπήσας, δέξασθαι τὸν λόγον ὡς ἀληθῶς τὸν περὶ διαγνώσεως.

Κεφ. η.

Περὶ αἰτίας τῶν κατὰ τὰς ἁπλᾶς δυσκρασίας οὔρων.

Περὶ δὲ τῶν κατὰ τὰς ἁπλᾶς δυσκρασίας ἐπισυμβαινουσῶν μεταβολῶν ἐν τοῖς οὔροις, ὧδ᾽ ἂν εἴη προσῆκον φάναι. Καὶ τοίνυν θερμότης βραχὺ μὲν ἐπικρατοῦσα τοῦ δέοντος, ὑπόπυρρά τε καὶ ὑπόξανθα τὰ οὖρα δίδωσιν, ἐπὶ πλεῖον μέντοι ἐπιτείνουσα, ἤδη πυρρὰ καὶ ξανθά. Ταῖς δὲ συστάσεσιν ὑπαλλαττούσας

Ταῦτα τοῦ

Ταῦτα τὸ σύμμετρον καὶ τοῖς αὐτοῖς ἐπιφαίνεται στιλπνότης, τὰ δέ γε παρυφιστάμενα τοῖς σύμμετρα μὲν καὶ
αὐτά· ἤδη δὲ καὶ τὸ λευκὸν ὅλη κατὰ φύσιν τέ καὶ σύμμετρον ἄφημεν αὐτοῖς πλεῖν ὑποφαίνουσι. Τἀναν-
τία δὲ τούτων ἡ ψυχρότης προβάλλεται. Ἐφ' ὅσον γὰρ ἡ ψῦξις ἐπιτείνεται λευκαίνεται καὶ τὰ χρώματα
καὶ ἥπαρ καὶ τῆς συμμέτρου συστάσεως λείπεται, τραχυτέραν δὲ τὴν ἐπιφάνειαν· καὶ τὰ παρυφιστάμενα μι-
κρὰ καὶ ἄναιμα. Ἐνίοτε δὲ αὖ καὶ παχύνεται δι' ὅλου καὶ ἀναθολοῦται τὰ οὖρα. Ὑγρότης δ' ἀμβλύνει αὐτὴν
κατὰ φύσιν τοῦ οὔρου χροιὰν ἐξυδατοῦσα [illegible], τραχύνοιτο δ' ἂν καὶ ἡ ἐπιφάνεια τούτῳ, πλείω δὲ καὶ ἀνω-
μάλα τὰ παρυφιστάμενα. ἐνδέουσι δ' ἂν ὧδε καὶ κατὰ τὴν σύστασιν τὰ οὖρα. Ξηρότης δ' ἂν τραχύτη-
τας [illegible] κατὰ τὸ χρῶμα, καὶ τῶν παρυφισταμένων ποιεῖ διαφάνειαν ὀλίγην καὶ στιλπνότητα ποιεῖ·
τά γε μὴν χρώματα τούτοις [illegible] τὰ κατὰ φύσιν· καὶ αἱ συστάσεις σύμμετροι. εἰ μή γε τῇ τῆς ξηρότητος ὑ-
γρότητος ἐνδεία. Δριμύτερα γένοιτο τῇ ἐπιτάσει τῆς θερμῆς ποιότητι, τοιαῦτα τὰ κατὰ τὰς δυσκρασίας
οὖρα πέφυκεν. Νῦν δ' ἐπιθῶμεν καὶ τὰς αἰτίας, τὰς διαγνώσεις ὧδε πιστούμενοι. Ἐπεὶ τοίνυν ἐπιτει-
νομένης θερμότητος αἴρεται καὶ μεταβάλλεται καὶ τὰ χρώματα τῶν οὔρων. Εἰκότως ἄρα κἀπὶ τῶν δυσκρασι-
ῶν [illegible] θερμῇ, μετρία μὲν οὔσῃ, ὑπόπυρρά τε καὶ ὑπόξανθα ὀφθείη, πλείονι δὲ γεγενημένη ἤδη ξανθὰ
καὶ πυρρά. Τῆς ἐπικρατούσης δηλονότι θερμότητος, τὴν μὲν χολὴν δριμυτέραν ποιούσης, τὴν δ' ἐξυδατοῦσαν
ταύτης ὑφαιρουμένης ὑγρότητος, ταυτά τοι καὶ τὰ χρώματα τοιαῦτα ἀποδίδοται. Ἐπεὶ δὲ καὶ ταῖς ἐπικρατεί-
αις εἴωθε τῆς θερμότητος συμμέτρως καὶ τὰς πέψεις [illegible]· ὥστε καὶ τὰς τῶν οὔρων [illegible] συστάσεις συμμέ-
τρους φαίνεσθαι, εἰκότως ἂν πλεονεκτούσης, μήπω δὲ καταλυσάσης τὴν ὑγείαν, καὶ τὴν ὑπὸ τὸ σύμμε-
τρον τὰ οὖρα σύστασιν ἀναλάβωσιν. Οὐ θαῦμα δ' εἰ καὶ ἡ ἐπιφάνεια στίλβει τῇ τοῦ χρωννύντος κατὰ [illegible]
ποσότητα ἐπιτάσει χυμοῦ. Τῆς γάρ τοι ἐπιτεταμένης δριμύτητος ἀναλισκούσης τὴν τραχύνουσαν ὑγρότητα, ἡ στιλπνό-
της διαφαίνεται. Σύμμετρα δὲ καὶ τὰ ἄλλα παρυφιστάμενα πέφυκε τὰ, οὐ καινὸν ἂν εἴη εἰ διὰ τὴν ἐπὶ θερ-
μότητι ἐπιτεταμένην δυσκρασίαν, [illegible] καὶ τῆς λευκότητος κατὰ [illegible] τινος ἀπὸ τῆς χολῆς ἐπιδό-
σεως συναπτομένης τε καὶ χρωννυούσης τὰ παρυφιστάμενα. Ἔπειτα μὲν τῶν ψυχρῷ κατοχῶν δυσκρα-
σίᾳ, καθ' ὅσον ἂν ἐπὶ τὸ ψυχρότερον προίωσι καὶ τὰ ψυχρότερα λευκότερα ἀποδείκνυνται. Ἐπεὶ γάρ τοι
[illegible] ξανθόχολον μὲν ὢν ὁ χρωννὺς τὰ σύμμετρα τῶν οὔρων χυμὸς οὗτος δ' ἐπὶ συμμέτροις τέ καὶ
ἀκριβέσι πέψεσιν [illegible], εἰκότως ἂν ἀποτυχούσης τῆς [illegible] πέψεως διὰ ψυχρότητα διάθεσιν,
ὁ ξανθὸς οὐκ ἀπολάβῃ τὸ οἰκεῖον χρῶμα χυμός, [illegible] ὕπωχρον κατὰ [illegible] τῆς ἀποτυχίας μᾶλλον

χρῶμα

χρῶμα δεξάμενος. Ὡς αὖ εἰκότως τῇ τοῦ ὀρρώδους ἐπιμιξίᾳ χυμοῦ διάφοροι, καὶ αἱ ἐπὶ πλεονὸν χρυ-
σοῦσαι χροιαὶ φανεῖεν, κατὰ τὸ μᾶλλον ἀπολουθεῖ τῆς ἀποδοχίας τῆς πέψεως. Εἰ δ' αὖθις καὶ πρὸς τὸ
λευκότερον κατὰ τὴν σύγκρισιν χωρεῖ τὰ χρώματα, μὴ πάντως τῷ ἀμφοτέρῳ κράματα καὶ σκευάσ-
ματα ὑγρότητι. Διὰ ταῦτα δ' αὖ καὶ ἡ ἐπιφάνεια τραχυτέρα ὀφθείη, τοῦ στιλβηδόνα παρέχοντος
ἠτυχηκότα κατὰ τὴν πέψιν χυμοῦ. Μείω γὰρ μὲν καὶ ἄγνωρα τὰ παρυφιστάμενα τούτοις. Τὸ μὲν γὰρ
ἠλαττωμένος τὸ θερμόν, καὶ ἡ ἀνάδοσις ἐλάττων· ἐλάττω δ' ἂν εἰκότως εἴη καὶ τὰ ἐκ τῆς ἐλάττονος
τῶν χυμῶν ἀναλήψεως. Ταῖς δὲ δι' ἀτονίαν θερμοῦ φαύλαις, καὶ ἀδυνάτοις πέψεσι, καὶ τὰ πα-
ρυφιστάμενα ἀγνωμότερα φαίνεται. Οὐ θαῦμα δ' εἰ ἀναθολοῦνταί τε καὶ παχύνονται ἤδη τῆς ὀμοχ-
γίας κραθέντα διὰ τὴν τοῦ πέψοντός τε καὶ ἀλλοιοῦντος θερμοῦ ἀσθένειαν. Ὅπη μὲν γὰρ ἂν ξη-
ρότης φυσικὴ τῆς ὕλης κατακρατοῦσα ᾖ, τὰ μὲν λεπτὰ τῶν χυμῶν παχύνεται σπευδόμενα,
τὰ δ' αὖ καὶ ἄλλοθεν παχυνόμενα ταῦτα λεπτύνεταί τε καὶ διακρίνεται. Ταῦτά τοι καὶ ἀμ-
φότερα οἶδε τὰς συστάσεις διαφόρους αἰτίας ἡ κατὰ ψυχρότητα προσγινομένη δυσκρασία· τὰ μὲν γὰρ
λεπτὰ διὰ τὴν καύσεως μᾶλλον ψιλὴν δυσκρασίαν, ἐκεῖνα δ' αὖ διὰ τὴν δι' αὐτὰ ἐπικρατοῦσαν
χυμῶν ὠμότητα. Ὑγρότης γε μὲν ἐπιμαρτυρηθείη μὲν τ' ἂν καὶ τῷ ποσῷ τῆς ἐκκρίσε-
ως, συνεπιμαρτυρῆσαι δὲ καὶ ἡ ἀμαύρωσις τῆς ἀποδιδομένης χροιᾶς. Τῆς μὲν γὰρ
πέψεως οὐκ ἀκριβῶς γινομένης τῇ τῆς ὑγρότητος παρουσίᾳ, καὶ τὸ συμμέτρως
ἐκπεφαυγυίας ἀπολείπει ταῦτα τῆς συστάσεως, ὑπόλευκα μὲν ἴσως φαίνεται, ἀπολείπο-
ντα δὲ τῇ χροιᾷ τῇ τοῦ πλείονος ἐπιμιξίᾳ ὀρρώδους χυμοῦ. Οὐ θαῦμα δ' εἰ καὶ πλείο-
να καὶ ἀγνωμότερα τὰ παρυφιστάμενα φαίνεται. Τῇ μὲν γὰρ ὑγρότητι τῶν χυμῶν, ῥᾳδία
ἡ ἀνάδοσις γίνεται, ὥστε πλείω καὶ τὴν κατεργασίαν εἶναι εἰκός. Συμβαίνει δ' ἂν ἴσως
πλείονος ὄντος τοῦ ἀναδιδομένου ὑγροῦ μὴ ἀκριβῆ τὴν τῶν χυμῶν κατεργασίαν γίνεσθαι,
ὥστ' ἐντεῦθεν συμβαίνει πλείω μέν, ἀγνωμότερα δ' ἔνια τὰ παρυφιστάμενα δείκνυσθαι. Ἐπὶ
δὲ ξηρᾷ τῷ σώματι γεγονυίᾳ δυσκρασίᾳ, μείω μὲν τὰ χρώματα τῶν οὔρων φαίνεται διὰ τὴν τῆς
ὑγρότητος ὀλιγότητα, τὰ χρώματα δ' οἷα τὰ κατὰ φύσιν ἂν τοῖς ἀκμάζουσί τε καὶ γυμναζομέ-
νοις ἀνθρώποις, ἐπιτεινομένοις δὲ καὶ ταῦτ' ἂν ἐπιλάβοιεν· αἵ τε συστάσεις ὅμοιαι τοῖς ὑγι-
έσι τε καὶ συμμέτροις, ἔνια δὲ καὶ προσεπιτείνονται. Τὰ μὲν οὖν χρώματα τοιαῦτα

μένει, πολλῷ

μένει, μηδέν τοι τοῦ χρωννύντος πεπονθότος χυμοῦ μάλιστά γε μὴν καὶ ἐπιδιδόντος καὶ τὰ χρώματα ἀποδιδόασιν. Ὥσπερ δὲ ἐπὶ ταῖς τῆς ὑγρότητος ὑπερβολαῖς, ἀνέχεται ῥαδίως ἡ πεπτικὴ δύναμις, οὕτω νῦν ἐπὶ ταῖς ξηραῖς ῥᾷστα δυσκρασίαις κρατοῦσα, οὐ μόνον ἀποδίδωσι τὴν σύμμετρον σύστασιν, ἀλλ' ἐνίοτε καί τι πάχος προσεπιτίθησιν. Στιλπνότης δέ τις καὶ λειότης ἐπιλάμπει τὴν ἐπιφάνειαν διὰ τὴν τοῦ χρωννύντος χυμοῦ αὐτάρκειαν. Τά γε μὴν ἐναιωρήματα μείω μὲν ὀλίγης οὔσης καὶ τῆς ἀναδιδομένης ὑγρότητος. Σύμμετρα δὲ ταῖς συστάσεσι καὶ ἀκριβῶς πεπεμμένα τῇ καταστάσει ταῦτα ῥαδίως ὑπὸ τῆς πέψεως διαμένοντος. Καὶ ὁ μὲν περὶ αἰτίας οὔρων λόγος ἐν τοῖς κατὰ δυσκρασίαν ἁπλῶν φαινομένοις οὔροις οὕτω πως ἀποδιδόσθω. Οὐ μήν τοι χρὴ λανθάνειν ὡς ἐπεὶ τοῦ ἀνθρώπου δυσκράτως ἔχοντος ποιότητι τινὶ κεῖται ταῦτα, τῶν ἄλλων ὅσον εἰκὸς συμμέτρων παρόντων. Ἐπεὶ δ' ἀκριβῶς ὁ λόγος τὰς ἐπὶ ταῖς ἁπλαῖς δυσκρασίαις διεξῆλθεν αἰτίας, ἀρξώμεθα τῷ ἑξῆς καὶ τῶν τὰς συμπεπλεγμένας ἐξηγούμενοι ἐπιδεδειχυίας ποιότητας. Πρὸς τούτοις ἐν τοῖς περὶ διαγνώσεως εἴρηται ὡς τῶν μὲν συμμέτρως γυμναζομένων, καὶ τὰ οὖρα σύμμετρα ἀποδίδοται, εἶτα καὶ ἐπὶ τῶν ἀγυμναζόντων τε καὶ γυμναζομένων εἴρηται. Τῶν δὲ ὑπὲρ τὸ δέον κατακοπέντων τε καὶ γυμναζομένων τὰ οὖρα ἤδη μὲν πρὸς τὸ πυρρόν τε καὶ ξανθὸν χωρεῖ, αἵ θ' ὑποστάσεις τούτου βραχεῖαί τε καὶ λεπταί, ἀλλοιοῦνται δ' αὖ καὶ κατὰ χροιάν, ἐνίοτε γε μὴν καὶ συντήγματα ἐπινήχονται τούτοις. Τῶν δὲ νωθρὸν καὶ ἥσυχον μετιόντων βίον, τά γε οὖρα πρὸς τὸ λευκὸν χωρεῖ, καὶ τὰ ἐναιωρήματα πλείω τε καὶ ὠμότερα. Αἱ μὲν οὖν ἐπὶ συμμέτροις γυμνασίοις αἰτίαι τῶν οὔρων πάλαι ἀποδέδονται τῷ λόγῳ ἐπὶ τοῦ κατὰ πάντα συμμέτρου τε καὶ εὐκράτου. Νῦν δ' ἐπιθῶμεν τῷ λόγῳ καὶ τὰς ἐπὶ ἀμέτροις γυμνασίοις τῶν οὔρων αἰτίας, εἶθ' οὕτω τὰς ἐπὶ νωθρότητι καὶ ἡσυχίαις.

Κεφ. θ.

Περὶ αἰτίας τῆς κατὰ τοὺς γυμναζομένους καὶ ῥαθύμως βιούντων τῶν οὔρων.

Ἐπειδὰν τοίνυν πλείω τοῦ προσήκοντος ἡ τοῦ θερμοῦ γένηται κίνησις ἐξαφθεῖσα ὑπὸ τῶν ἀμέτρων γυμνασίων, πλειόνων τοῦ προσήκοντος πεφυκότων, ἤδη μὲν ὁ χολώδης ἐπιτείνεται χυμός,

συγκαόμενος

συγκαιόμενος ὑπὸ τῆς ἐπικρατούσης θερμότητος. Ἤδη δὲ διὰ τὴν τοιαύτην ἔξαψιν καὶ τὰ χρώματα τῶν οὔρων πρός τε τὸ ξανθὸν καὶ πυῤῥὸν ἀποῤῥέπει, τοῦ μὲν καταπαραννῦντος ὀῤῥώδους χυμοῦ μαλακυνθέντος χυμοῦ, τὴν δὲ ποιότητα τοῦ χολώδους ἐπικρατήσαντος χυμοῦ, τὰ γε μὴν παρυφιστάμενα λεπτά τε καὶ βραχέα φαίνεται. Ὅτι τὰ πλείονι θερμότητι καταλελέπτυνται συνδιαπνευσθέντα αἱθ' ὑδρῶσιν, ἢ καὶ τῇ ἀδήλῳ διαπνοῇ, ἐξαραιωθέντος ἐπὶ τοῖς γυμνασίοις τοῦ δέρματος, εἰκὸς γε μὴν ἀποπαυσάντων τῶν τοιούτων γυμνασίων καί τινα συνθήματα ἐπικινηθῆ, ἀπό τε τῶν [illegible] καὶ ἄλλων τινῶν ἴσως [illegible] τῆς πλείονος μετὰ κινήσεως θερμότητος καί τι τῆς σπουδῆς συνλειφθείσης. Ἐπί γε μὴν τῶν ἥσυχον καὶ ἀγύμναστον μετιόντων βίον, τάτε οὖρα τοῦ συμμέτρου ἀφιστάμενα χρώματος, χωροίη ἂν πρὸς τὰ λευκά, βραχύτητι τοῦ θερμοῦ τὴν κίνησιν ἔχοντος καὶ πρὸς ἅπαντα ἐπινάρκοντος, καὶ τῇ ἀκινησίᾳ οἷον ἀπομαραινομένου. Οἷον γάρ τοι τῆς πυρκαϊᾶς συμβαίνειν εἴωθεν, ἀργούσης ὕλης ἐπικωλυθείσης ἂν μὲν γάρ καί τις ἔξωθεν ἐπισυναχθείη κίνησις, εὐθέως τε ἐξάπτεται καὶ καταπίμπραται ἡ ὕλη, προχείρως δὲ καὶ τὰ προσπαραβαλλόμενα καταδαπανᾶται, εἰ δ' ἔξωθεν ἐπικρατούσης κινήσεως, δυσχερῶς μὲν τὸ καταφλέγειν τὴν ἀποτεθεῖσαν ὕλην, ὅλως δ' οὐχὶ [illegible] μὴ καὶ ἀπομαρανθῇ προσεπιβληθείσης καὶ πλείονος ἑτέρας ὕλης. Τοιοῦτό τι κἀπὶ τῶν γυμναζομένων τε καὶ ἀγυμναστούντων συμβαίνειν εἴωθεν. Διὰ ταῦτά τοι πρὸς μὲν τὸ λευκὸν ἤδη χωρεῖ τὰ τῶν οὔρων χρώματα ἐπὶ τῶν νωθρὸν καὶ ἥσυχον μετιόντων βίον. Τὰ παρυφιστάμενα δὲ πλείω τε καὶ ἰσχνότερα τοῦ εἰκότος ἐπιφαίνεται. Τῇ μὲν γὰρ ἡσύχῳ διαγωγῇ ῥᾳδία ἡ ἀνάδοσις γένοιτ' ἂν καὶ ἡ ἀλλοίωσις, ἡ δὲ πέψις κατὰ τὴν τοῦ θερμοῦ ἐπικράτειαν. Ἐπεὶ δὲ καὶ τοῦτο δέδεικται ὡς μὴ κινουμένη ἀπομαραίνεσθαι τῷ χρόνῳ εἴωθεν ἡ θερμότης, εἰκότως ἂν πλείω μὲν ἐπὶ τῶν ῥαθυμοτέρων ἐπισυμβαίνῃ τὰ παρυφιστάμενα, ἰσχνότερα δὲ τῆς ἀκριβοῦς ἠλλοιωμένα πέψεως. Καὶ ὧδε μὲν ὁ ἐπὶ τῶν γυμναζομένων τε καὶ ῥαθυμούντων κατὰ τὰ οὖρα πεπαύσθω λόγος. Μετιτέον δ' ἐφεξῆς ἐπὶ τῶν κατὰ τὰς ὥρας τε καὶ χώρας ἠλλοιωμένων οὔρων.

Κεφ. Ι.

Κεφ. 1.

Περὶ Αἰτίας τῶν κατὰ τὰς ὥρας τε καὶ χώρας οὔρων.

Ἔαρος τοίνυν ἀρχομένου μὲν ἔτι, τὰ μὲν χρώματα λευκά τε καὶ ὠχρὰ καί ποτε καὶ παχύνεται.
Τὰ ποσὰ δὲ τῶν χυμάτων πλείω τῶν ἐξ ἀναλογίας ἀπαιτουμένων. Τὰ δὲ παρυφιστάμενα πλείω τε καὶ
παχύτερα. Προϊόντος δὲ τοῦ χρόνου ἐπὶ τὸ θερμότερον τά τε χρώματα πρὸς τὸ σύμμετρον ἤδη χωρεῖ καὶ τὰ
παρυφιστάμενα. Ἤδη δὲ θέρους ἠργμένου ὑπόπυῤῥα μὲν καὶ ὑπόξανθα τὰ οὖρα, λεπτότερα δὲ τὰ πα-
ρυφιστάμενα ἰδεῖν φαίνεται: ἀκμάζοντος δὲ τοῦ θέρους μείω μὲν τὸ ἐξ ἀναλογίας ποσοῦ τὰ χύματα,
καὶ πρὸς τὸ πυῤῥὸν ἤδη καὶ ξανθὸν χωρεῖ τοῦ χρώματος. Αἱ δὲ συστάσεις αὐτῶν ὀλίγον τι τοῦ συμμέτρου
λεπτότερον, καί τις ἐπιπλάζεται αὐτοῖς στιλπνότης. Τὰ δέ γε παρυφιστάμενα λεπτότερα μὲν καὶ μείω,
ἤδη δὲ καὶ αὐτὰ ἐπιχρωννύμενα τὴν λευκότητα. Παρακμάζοντος δὴ καὶ φθινοπώρου ἀρχομένου, ὑπο-
χαλᾶται μὲν τὰ χρώματα τῶν τε χυμάτων καὶ τῶν παρυφισταμένων, λεπτὰ δ' ἔτι μένει. Προϊόντος
δὲ πρὸς τὸ ψυχρότερον ἔτι τὰ σύμμετρα χρώματα ἐπιδίδοται. Χειμερινῆς δ' ἐπιγενομένης τροπῆς
κατὰ μὲν τὸ ποσὸν, ἤδη πρὸς τὸ σύμμετρον χωρεῖ, κατὰ δὲ τὰ χρώματα πρὸς λευκὸν, τὰ δὲ
παρυφιστάμενα ἤδη πλείω. Αἱ δὲ συστάσεις σύμμετροι. Ἀκμάζοντος δ' ἤδη τοῦ χειμῶνος, τὰ μὲν χρ-
ώματα τῶν λευκῶν γίνεται, αἱ δὲ συστάσεις ἀνώμαλοι, ποτὲ μὲν παχεῖαι, ποτὲ δὲ λεπταὶ
φαινόμεναι. Τὰ δὲ ποσὰ καὶ τῶν ἐξ ἀναλογίας συμμέτρων πλείω, τά τε παρυφιστάμενα τοῦ πλεί-
ονός τε καὶ ἀνώμαλα ἐπὶ τὸ πλεῖστον φαίνεται, καὶ τὰ μὲν κατὰ τὰς διαφορὰς τῶν ὡρῶν ἀλλοιούμενα
οὖρα τοιαῦτ' ὡς βραχὺ φάναι. Λοιπὸν δ' ἂν εἴη καὶ τὰς ἐπὶ τούτοις ἐπιβαίνειν τῷ λόγῳ ἀφω-
ρισμένας αἰτίας. Οὕτω γὰρ ἀποδοθέντος τοῦ λόγου καὶ τὰς ἐπὶ ταῖς ἀναλογίαις τῆς ὥρας
χώρας προαποδῶσαι ῥᾳδίως. Ἀλλ' ἐπαναληπτέον ἤδη τὸν λόγον καὶ τὰς καθ' ἕκαστον τούτων
νενομισμένας αἰτίας. Ἔαρος τοίνυν ἠργμένου καὶ τοῦ ἡλίου πρὸς ἡμᾶς ἀναβαίνοντος, ὁπότε
δή τε καὶ αἱ πλειάδες ἀκρόνυχοι φαίνονται, τὰ μὲν χρώματα τῶν οὔρων ἔτι λευκά τε καὶ ὠχρὰ
ἐπιφαίνεται, καὶ ταῖς συστάσεσιν ἀνώμαλα, πλείω δὲ τῷ ἐξ ἀναλογίας ποσῷ, καὶ τά γε παρυφιστάμ-
ενα τούτων πλείω τε καὶ ἀνώμαλα. Ἔτι μὲν τὰ τοῦ ψύχους συμμένοντος, νικᾶται μὲν ἡ ἔμφυτος
θερμότης τῷ περιέχοντι, ἀποτυχίαι δὲ τῆς πέψεως ἐπιγίνονται, κατά τε τὰ χρώματα καὶ τὰς συστά-
σεις. Ὅτι δὲ καὶ τὰ προσφερόμενα πλείω, τῶν δὲ πολλῶν τροφῶν καὶ τὰ περιττώματα πλείω,

καὶ τὰ —

καὶ τὰ παρυφιστάμενα ἥττον πλείω φαίνεται καὶ ἄνομα, μὴ προσηκόντως τῶν χυμῶν κατειργασμένων. Ἐπὶ δὲ τούτοις πλείω τῷ ποσῷ τὰ οὖρα φαίνεται, διὰ τὴν ἐκ τοῦ παντὸς χειμῶνος ἐπισωρευθεῖσαν ὑγρότητα τῶν χυμῶν τῷ σώματι. Τοῦ γάρ τοι χειμῶνος, πλειόνων μὲν τῶν προσαγομένων οὐσιῶν τροφῶν, πλειόνων δὲ καὶ τῶν ὕπνων, καὶ προσέτι τῆς τοῦ περιέχοντος κράσεως ὑγρᾶς τε καὶ ψυχρᾶς τυγχανούσης, χυμῶν τοιούτων οὐκ ὀλίγη ποσότης ἀθροίζεται. Ἀλλὰ χειμῶνος ἔτι ὄντος μὲν, πέπηγέ πως τοιαύτη ὕλη ἴσως βραχύ τι πλείω τῆς ἀναλογίας συμμέτρως πρόεισιν. Ἔαρος δ' ἐπιλαμβάνοντος καὶ τῆς καταστάσεως ἔτι ὑγρᾶς οὔσης, τῶν χυμῶν ἤδη πεπτομένων κρειττόνως καὶ λυομένων πολλῷ ἀναλογῆς τῶν προσφερομένων τὰ ἐξουρήματα. Προϊόντος δὲ τοῦ χρόνου, ὅτε δὴ καὶ ὥριοι καιροὶ φαίνονται, τά τε χρώματα καὶ αἱ συστάσεις πρός τε τῶν παρυφισταμένων, πρὸς τὸ σύμμετρον χωρεῖ. Ἤδη γὰρ τοῦ περιέχοντος καθισταμένου πρὸς τὸ σύμμετρον, καὶ ὅσα διὰ τὴν προαπηρτημένην ἀλλοιοῦται κατάστασιν, ἐπείγεται πρὸς τὸ σύμμετρον. Ἐὰν γὰρ ἡ τοῦ περιέχοντος κρᾶσις μήτε ψυχρὰ εἴη πάνυ, ὥστε ἀδικεῖν τὴν ἔμφυτον θερμότητα, μήτ' αὖ ἐπιτεταμένως ξηρὰ, ὡς διαφορεῖσθαι ἤδη καὶ τὴν ἐν ἡμῖν θερμότητα, αἱ φυσικαὶ δυνάμεις τὰς φυσικὰς ἐν ἡμῖν ἀναγκαίας, πρὸς τὸ κατὰ φύσιν τε καὶ σύμμετρον διεργάζονται, οὐδενός τινος θύραθεν ἐμποδὼν προσισταμένου. Ὁπόταν δὲ ἤδη μὲν ὡρίων ἐπιβάλλειν ἄρχεται θερινὰ δ' ἤδη τροπαὶ τυγχάνουσι, ὑπόπυρρα μὲν καὶ ὑπόξανθα τὰ οὖρα φαίνεται. Λεπτότερα δὲ τῶν συμμέτρων τὰ παρυφιστάμενα καὶ εἰκότως. Τοῦ γάρ τοι θερμοῦ καθαρῶς ἐν τῷ παντὶ διαχυθέντος σώματι, καὶ τῆς ἀνεστομωμένης ὕλης χαλασθέντος, καὶ πέψεως γινομένης, κρατούσης, καὶ τὰ οὖρα ἀποδιδόναι τὸ σύμμετρον ἔχοντα χρῶμα, λεπτότερον δὲ, οἷον αὐτοῖς τὰ παρυφιστάμενα τῷ εἶναι ἤδη τῇ πλείω λεπτύνεσθαί τε καὶ τῷ περιέχοντι διαφορεῖσθαι θερμῷ. Ἀκμάζοντος δ' ἤδη θέρους ὀπώραν καὶ πρωϊνῶν ἕως ἐπιβάλλει, μείω μὲν τὰ οὖρα τῆς ἐξ ἀναλογίας ἀποδιδομένης φαίνεται ποσῷ· ἤδη δὲ καὶ πρὸς πυῤῥόν τε καὶ ξανθὸν χωρεῖ τὰ χρώματα καὶ αἱ συστάσεις λεπτότεραι τῶν συμμέτρων. Τὰ δὲ παρυφιστάμενα μείω τε καὶ λεπτότερα, καί πως ἐπιχεόμενα τὴν λευκότητα. Τοῦ γάρ τοι περὶ ἡμᾶς θερμοῦ, ἀκμαίου μὲν ἤδη γεγονότος, ἀφαιρουμένου δὲ πρὸς ἑαυτὸ ἡμέτερον τοῦ τε φυσικόν πως, καὶ τῇ ποσότητι, πλείων μὲν χεία προσφορᾶς γίνεται πόματος, μείων δὲ τῆς ἀναλογίας ἔκκρισις, εἴθ' ἱδρῶτα, καὶ τὴν ἄδηλον διαφορὰν μὲν διαπνοήν· τῷ γὰρ ἦν τὰ τῆς πλεονάζον τῆς χολῆς ἀποδίδοσθαι καὶ τὰ χρώματα τοιαῦτα φαίνεται. Ὅτι δὲ τοῦ φυσικοῦ συνδιαφορουμένου

ξηραῦ

[illegible] τι κατὰ φύσιν [illegible] ἀποτυγχάνουσι, καὶ τὰ οὖρα λεπτότερα τὴν σύστασιν ἐπιφαίνεται· τὰ δέ γε παρυφιστάμενα χρώννυται μὲν ἤδη ἐκ τῆς χολῆς παρουσίας, μείω δὲ καὶ λεπτότερα φαίνεται τῷ τε διαφορεῖσθαι καὶ λεπτύνεσθαι· καὶ τὰς πέψεις [illegible] γίνεσθαι, τὰ πλείω [illegible] θύραθεν ἐπικουρουμένου, δηλονότι τοῦ φυσικοῦ θερμοῦ. Ἤδη δ᾽ ἀρχομένου φθινοπώρου, ὅτε δὲ καὶ ὁ Ἀρκτοῦρος ἐπιτέλλει, ὑπαλλάττεται μὲν τὰ χρώματα τῶν τε οὔρων καὶ τῶν παρυφισταμένων πρὸς τὸ σύμμετρον χωροῦντα· λεπτὰ δ᾽ ἔτι μένει καὶ διαφανῆ καὶ μείω. Τοῦ γάρ τοι [illegible] παρεμπίπτοντος θερμοῦ, καὶ τὰ δι᾽ ἐκεῖνο χρώματα ὑπενδιδόναι ἄρχεται, καθ᾽ ὅσον ἂν ἀπολείπηται ἡ θερμότης φαίνεται. Διά γε μὴν τὴν ἐπὶ τοῦ περιέχοντος ἐπικρατοῦσαν ξηρότητα μείω καὶ διαφανῆ τά τε χρώματα καὶ τὰ παρυφιστάμενα φαίνεται. Προκόπτοντος δὲ τοῦ χρόνου, [illegible] ὁπότε δὴ καὶ Πλειάδες [illegible] δύνουσι, ἤδη μὲν συμμέτρως τά τε χρώματα καὶ τὰ παρυφιστάμενα τῶν πέψεων, ἀμεινόνων δηλονότι γινομένων τῆς ὑπὲρ τὸ δέον διαπνοῆς, ἐκ τῆς τοῦ περιέχοντος θερμότητος ἀπεσχημένης. Ψυχρῶν γὰρ ἤδη πνευμάτων ἐπιπνευσάντων, τόνον μὲν ἡ ἔμφυτος ἀπολαμβάνει θερμότης, τὴν ἐν πᾶσι δὲ συμμετρίαν ταῖς πέψεσι ἀποδίδωσι. Ἀλλ᾽ ἤδη χειμερινῆς τροπῆς γινομένης, Αἰγὸς δὲ τότε ἑῴα δύνει, τὰ μὲν χρώματα τοῦ συμμέτρου ἀφίστανται ἤδη· λεπταὶ δὲ αἱ συστάσεις ἔτι, καὶ τὰ παρυφιστάμενα πλείω μὲν ἔτι, δ᾽ ἴσως ἧττον σύμμετρα. Τοῦ γὰρ περιέχοντος γινομένου ψυχροτέρου συναλλοιοῦταί πως καὶ ἡ ἔνδον θερμότης, ἐπιδίδωσι δὲ καὶ ὁ φλεγματώδης τότε χυμός, ὥστε συμβαίνει [illegible] ἡμῖν χρωννῦντα χυμὸν ἀπημαυρῶσθαι [illegible]. Ὅτι δὲ προσφοραὶ τῶν τροφῶν πλείους, ἀναγκάζονται δὲ αἱ πέψεις, τῷ τότε ἤδη τὸ θερμὸν ἀρρωστεῖν, καὶ τοὺς ὕπνους πλείους εἶναι ταῖς πέψεσιν οὐκ ὀλίγα λυσιτελοῦντας· καὶ τὰ παρυφιστάμενα πλείω φαίνεται. Ἐπικάζοντος δ᾽ ἤδη [illegible] καὶ ζέφυροι πνεῖν ἄρχονται, τὰ μὲν χρώματα τῶν οὔρων πλείω μὲν τοῦ τῆς ἀναλογίας ποσοῦ, ἤδη δὲ καὶ λευκὰ φαίνεται καὶ τὰς τῶν συστάσεων [illegible]· τὰ δὲ παρυφιστάμενα [illegible] πλείω τι καὶ [illegible] πρόεισι. Τοῦ γάρ τοι περιέχοντος ψύχους ἐπὶ τοσοῦτον ἐπιβάντος, ὡς ἤδη μὲν τὴν ἔμφυτον ἀδυνατεῖν θερμότητα καὶ τοῦ χολώδους [illegible] χυμοῦ τοῦ φλεγματώδους δ᾽ ἀκμάζοντος, λευκὰ μὲν ἀποδίδοται τὰ οὖρα, διάφορα δὲ ταῖς συστάσεσιν· ἤτοι δηλονότι λεπτὰ δι᾽ ἀποτυχίαν τῆς πέψεως ἐκ [illegible] συνθέσεως τοῦ περιέχοντος ψύξεως, ἢ παχέα καὶ [illegible] οὕτω [illegible] χυμοῦ κατὰ τὸν ἴδιον καιρὸν ἐπακμάζοντος. Τῷ τε μὴ δυνηθῆναι [illegible] καὶ πέσσειν

πλείω

πλαίω τὰ προσυγρόμενα ἐκλοῦντα τὴν ἄμφυτον, καὶ διὸ τὸ ψύχος ἴδιον ἔχειν συνιζᾶν τὰς ὕλας. Διὰ ταῦτά τοι καὶ τὰ παρυφιζάμενα ἔσθι πλαίω διὰ τὴν πλαίω τῆς τροφῆς καταγραφίαν ὠμά τε καὶ παχύτερα ἐντέτη ἢ διὰ ψυχρότητα ἀπομαραίνουσι τὴν ἔμφυτον θερμότητα, ἢ διὰ τὸ πλαίω τὴν ἀναδεδαῖσαν ὕλην τῆς κατὰ τὴν θερμότητα δυνάμεως. Αἱ μὲν οὖν τῶν κατὰ τὰς ὥρας μεταβαλλομένοις οὔροις ἀποδιδόμεναι αἰτίαι, τοιαῦται αἱ ἀποδοθεῖσαι τοῖς τὰ τοιαῦτα σπουδάζουσιν. Ἐνδεῦθεν δὲ ἄντις σκοπεῖν καὶ τὰς ἐπὶ ταῖς χώραις ἐξαλλαττομέναις αἰτίας. Αἱ δὲ ἐπὶ ταῖς διαίταις μεταβεβλημέναις ἀναλόγως ἔχουσι ταῖς ἐπὶ ταῖς δυσκρασίαις ῥηθείσαις.

Κεφ. ια.

Περὶ αἰτίας τῶν κατὰ τὰς εὐχύμους τε καὶ κακοχύμους τροφὰς οὔρων.

Οὐ καινὸν δ' ἂν εἴη ἐπὶ τῶν εὐχύμων τε καὶ εὐπέπτων τροφῶν, ῥάδιαι μὲν αἱ πέψεις, ἀκίνδυνα δὲ τὰ παρυφιζάμενα. Τῆς γάρ τοι φυσικῆς θερμότητος ῥαδίως μὲν τὰ εὔπεπτα ἀλλοιούσης, προχείρως δὲ τῆς πέψεως ἐπὶ τοῖς εὐχύμοις ἀνυομένης, ἀδείμως πάντα γίνεται σύμμετρα δ' ἂν πᾶσι τὰν τοῖς οὔροις τεταγμένα φαίνεται. Ὥσπερ δῆτα τοὐναντίον ἐπὶ προσφοραῖς δυσπέπτων τε καὶ κακοχύμων σιτίων δυσχερεῖς μὲν αἱ πέψεις γίνονται, διεφθορότα δὲ καὶ ποικίλα τὰ παρυφιζάμενα φαίνεται, μὴ παραδεχομένης τῆς πεπτικῆς δυνάμεως τὰς ἀφορμὰς τῶν χυμῶν, ἀλλὰ κἂν τύχωσιν ἀναδεδόντας ἀπωθουμένης. Αἱ γὰρ ἀπεψίαι γίνονται μὲν καὶ διὰ τὴν τῶν προσφερομένων ἀνεπιτηδειότητα, ἤ τοι γὰρ διὰ ποιότητα τῶν προσφερομένων ἡ πεπτικὴ πάσχειν εἴωθεν δύναμις, ἢ διὰ ὑπερβάλλουσαν ποσότητα. Τάτε γὰρ πλαίω καὶ ὑπὲρ τὴν δύναμιν οὐ ῥαδίως κρατεῖται τῇ φυσικῇ θερμότητι. Τάτε τῇ ποιότητι χείρω οὐδὲ τὴν ἀρχὴν προσλαμβάνεται τῆς ἀλλοιωτικῆς δυνάμεως, τὰ οἰκεῖα μόνα ἀποσπωμένης, κἂν τύχωσι δὲ προσληφθέντα, τῇ ἀποκριτικῇ δυνάμει ἐκκρίνεται. Γένοιτο δ' ἂν καὶ διὰ τὴν τῆς δυνάμεως οἰκείαν βλάβην, καθ' οἵαν δή τινα διάθεσιν ἐπιγενομένην. Καὶ ταῦτα μὲν ὧδε.

Κεφ. ΙΒ.

Περὶ αἰτίας τῶν κατὰ τοὺς ὑπνηλοὺς καὶ ἀγρύπνους οὔρων.

Ὑπνηλῶν δὲ οὖρα εἴρηται, ὅσα χρώματα μὲν πρὸς τὸ λευκὸν ἀπάγεται, συστάσει δὲ ἢ μετρίως λεπτά, ἢ παχέα. ἐν παρυφισμένοις δὲ πλεῖσται ἰχῶρές τε καὶ πλείοσιν. Ἀγρύπνων δὲ μάλιστα κατὰ πάθος τὰ οὖρα τοιαῦτα εἴρηται, ταῖς μὲν συστάσεσι λεπτά, τοῖς δὲ χρώμασι διάφορα ποτὲ μὲν πάνυ λευκὰ ἢ πέφυκε, πολλὰ δὲ ξανθά τε καὶ πυρρά, ἐλαιώδη τε καὶ μέλανα, τοῖς δὲ παρυφισμένοις ἔτι μᾶλλον ἀλλόκοτα. Ἤτοι γὰρ ἀπολείψει καὶ ταῦτα, ἢ προσόντα, μηδὲ ὡραῖά τε καὶ λευκά, καὶ τοῖς χρώμασιν οὐ καθὰ πέφυκεν, καὶ ὁ μὲν ἐπὶ διαγνῶσαι λόγος τοιοῦτος. Νῦν δὲ καὶ τὰς αἰτίας ὧδε προσθετέον. Τὸν μὲν ὕπνον ἴσμεν γεγεννημένον κατὰ φύσιν μὲν καὶ ὑγιεινῶς τοῖς ἀνθρώποις ἔχοντας ἐπί τε προσηνεῖ ὑγρότητι καὶ μετρίᾳ φυσικῇ θερμότητι· διαλαμβάνοντες δέ πως ἄλλως ἐπί τε πολλῷ ὑγρότητι, καὶ μάλιστα φλεγματώδει· καὶ ἐπὶ τροφαῖς τε καὶ φαρμάκοις ψυχροτέροις· τὰς δὲ ἀγρυπνίας ἴσμεν γεγεννημένας, τὸ μὲν πλέον, ἐπὶ ξηρότησιν, ἔσθ' ὅτε δὲ καὶ ἐπὶ θερμότησι πλείοσιν.

Ἐπεὶ τοίνυν ἐπὶ τοῖς ὅλως ἢ ἐκείνως διαλαβοῦσιν ὕπνοι τε καὶ ἀγρυπνίαι γίνονται, κατάδηλα τὸ ὅμοιον καὶ τὰ τοιαῦτα οὖρα ἀποδίδοται. Δέδεικται μὲν γὰρ ὡς τὰ πρὸς τὸ λευκὸν τοῦ χρώματος ἔχει χωροῦντα, καὶ τὴν πέψιν ἐμποδιζομένην δείκνυσιν, οὐ μᾶλλον δὲ δείκνυσιν τέλεον τὰς ἀπεψίας· καὶ αἱ τῶν συστάσεων ἀπὸ τῆς συμμέτρου διαστάσεις· καὶ πρὸς τούτοις τῶν παρυφισμένων τὰ ἀνώμαλά τε καὶ πλείω. Ὅπη δὲ τοίνυν τοιαῦται ἀπεψίαι γίνονται, μέτριαι μὲν οὖσαι, αἰσθητὴν μὲν βλάβην οὐκ ἐπάγουσι τοῖς πάθουσι, φιλυπνίαν δὲ τούτοις τίκτουσι. Τῆς γὰρ ὁμοχυμίας ἠρέμα θερμαινομένης τε καὶ λυομένης, πολλοὶ μὲν οἱ ἐκεῖθεν ὑγροὶ ἀτμοὶ γίνονται, πολλῆς δὲ καὶ ὁ ἐγκέφαλος τῆς ἐκείνων ἀπολαύει τροφῆς. Ἐπεὶ δ' οὐκ ἐμπλέουσιν οἱ χυμοὶ τούτοις ῥᾳδίως, οὐ δὲ οἱ ἀπὸ τούτων ἀτμοὶ ἂν ἐμπλήσαιεν, ὥστε συμβαίνειν ὧδε πληθωρικῶς οὕτω τὸν ἐγκέφαλον ὑγραινόμενον καὶ τοὺς ὕπνους πλείω ἐργάζεσθαι. Ὕπνος γὰρ οἶμαι γίνεται τῆς ἐκ τοῦ βάθους ἐν ἐγκεφάλῳ ἀγαθῆς τροφῆς πεπτομένης, καθ' ὅσον δ' ἂν αὐτὴ πέπτηται, καὶ αἱ αἰσθήσεις ἀναπολαμβάνονται τοῦ ζῆν, τῆς μείζονος τὰς μὲν ἀπαρχομένας δυνάμεις τε καὶ ἐνεργείας. Ἐπειδὰν δὲ

τύχη

ἐστιν ἢ περιληφθεῖσα. Ἀλλ᾽ ἐπεὶ μὲν ἐκ δυοῖν ἡ αἴσθησις [illegible] δ᾽ αὐτῷ [illegible] εἶναι. Ἀλλ᾽ ἡμῖν περὶ τούτων λόγος ἄλλοις [illegible] ἀρκούντως ταῦτ᾽ ἡμῖν ἀφείσθω· ἀφαιρεῖν δ᾽ ἴδιον τῷ λόγῳ. Τῶν μὲν οὖν ὑπονοιῶν διὰ τοιαύτας αἰτίας τὰ οὖρα πέφυκεν γίνεσθαι· [illegible] δὲ τἀναντία διὰ τὰς ἐναντίας αἰτίας οἶμαι. Ἐπεὶ γὰρ ὅσα ξηραίνειν εἴωθε τὰς [illegible] πέφυκεν [illegible], οὕτως ἂν καὶ αἱ ξανθαὶ χολαὶ διαλεπτυνθεῖσαι αὐτῷ ἐπὶ τὸν ἐγκέφαλον αὐτὸν διαδοθεῖσαι, οὐ μόνον οὐκ ἀποδώσουσιν αὐτῷ τροφὴν ὑγιαίνουσαν, ἀλλ᾽ ἀφαιρήσουσι [illegible] ὑπάρχουσαν, ὡς ἀγρυπνεῖν [illegible] τὸν ἄνθρωπον. Τὰ γὰρ τοιαῦτα χρώματα δείκνυται χολῆς μᾶλλον ξανθῆς [illegible] ὄντα· ἐπεὶ δὲ καὶ τὰ παρωξυσμένα [illegible] τυγχάνειν πάντως οὔρησθαι. Παῦσις δὲ οὐκ ἂν ῥᾳδίως γένοιτο ἤτοι δυσκρασίας τινὸς ἐπιτηδείως, ἢ πάντως ἀγρυπνίας [illegible] οὕτως ἂν καὶ τῶν παρωξυσμένων [illegible] γένοιτ᾽ ἂν [illegible] καὶ σύγχυσις πλείων. Τὰ δ᾽ ἐπιεικῶς λευκὰ τῶν οὔρων καὶ λεπτά, ἤτοι διὰ τὴν τῆς [illegible] χολῆς ἐπὶ τὸν ἐγκέφαλον ἀναδρομὴν μαινόμενα τοιαῦτα τὴν [illegible] ἢ διὰ μελαγχολίας εἶδος. Τοιαῦτα γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τὰ τῶν μελαγχολώντων οὖρα [illegible] καὶ μέλανα [illegible] τὸ πλέον [illegible] ἴσως καινὸν τὴν ἀγρυπνίαν φέρει καὶ παρακοπήν. Ἀλλὰ τὰς ἐπὶ τούτοις ἔχεις καὶ ἄλλοις [illegible] αἰτίας· ὥστε φυλακτέον τὸ παλιλλογεῖν οὕτως ἀκαίρως. Ἰτέον δ᾽ ἐφεξῆς τῷ λόγῳ.

Κεφ. ιγ.

Περὶ αἰτίας τῶν κατὰ τοὺς ἀποπλεύσαντας ἐν πλησμονῇ, καὶ λιμώττουσι τῶν οὔρων.

Πλείω γοῦν ποτε ἐδηδοκότων, καὶ ἀποπιόντων λευκά τε καὶ λεπτὰ καί πως ἀνυπόστατα τῶν οὔρων φαίνεται· ἐγχρονιζόντων δὲ ταῖς ἀπεψίαις, ἀνώμαλα ταῖς συστάσεσι, καὶ τοῖς παρωξυσμένοις, ὥσπερ καὶ ἀσιτησάντων πέρα τοῦ μέτρου μὲν πυρρὰ καὶ ξανθά, ταῖς συστάσεσι ἐπιφαίνεται λεπτά. Λιμῷ δὲ ἤδη πιεζομένοις λευκά τε καὶ λεπτὰ καὶ ἀνυπόστατα φαίνεται· καὶ πρὸς πονηρά τινα μεθίσταται χρώματα. Ἀλλά γε καὶ τούτοις ὡς οἷόν τε ἀποδοτέον τὰς αἰτίας τοῖς χρήζουσιν, οὐκ ἀγνοεῖς ἴσως ἐφθασμένας τοῖς ἀκριβέσι τῶν λόγων ἐξετασθῆναι.

Ἐπεὶ

Ἐπεὶ τοίνυν πάψις αἴσθεν γίνεται τῶν ἀπαιτουσῶν κατεχομένων τροφῶν· ἀπεψία δ' ὑπερβαλλού=σης τὸ μέτρον πολλῷ ὥσπερ οὖν ὡμολύτων ἧττον ὑπερβαλλουσῶν τὸ σύμμετρον εἰκότως ἂν ὠδε=τῷ ἀνθρώπῳ καθαιρουμένης αὐτῆς τῆς πλείστης τροφῆς διαδοχῇ παντελῶς τῆς πέψεως γένοιτ' ἄν. Φαίνεται γὰρ βραχύ τι ἢ οὐδὲν ἀλλαῦθ' ἡ φύσις ἐναργήσασα τῆς τροφῆς, μήτε χρῶμα τρέπει σύ=στασιν ... σήμαινεν ἀφαιρουμένη δὲ καὶ τὰ παρυφιστάμενα τῷ τόπῳ ἀπεψία τῆς πέψεως. Ἐξ ὧν γε μὴν ἧττον μὲν τοῦ δέοντος διαπίπτει, τῷ χρόνῳ δὲ βιαζομένη πείθεται σφαιρῶν τὰς διακαθάρσεις ταύτας, ἢ μελαίναις ἀποδίδωσιν καὶ τὰς ἐνεργείας ἡ δύναμις. Ὅτι δὲ καὶ περὶ τῶν ἀσιτούντων ῥητέον. Ἐπειδὴ γοῦν ἀεὶ τῷ φυσικῷ τούτῳ θερμῷ ὑπεκκαυμάτων χρεία, ἵνα τό αὐτὸ συνίσταιτο τρέφηται ἀρ=κέσοις μὲν ἀπισωζομένης ὕλης καὶ τὰ ἔνδον γίνεται. Ἐπειδὰν δ' αὕτη ἐπιλείπῃ πρὸς ἑαυτὸ μὲν τούτῳ ἀπιέναι. αἵτης δὲ ὑγρότης καταδαπανᾶν. ταύτην καὶ ξηροτέραν. ξηραινομένης ταύτης γίνεται, καὶ ὁ ξανθόχολος ὅθεν χυμὸς ἀποδίδωσι ξηραῖς τε καὶ θερμαῖς αὐξάνων διαθέσεσι. Καὶ τὰ οὖρα κατ' ἐκεῖνο τοῦ θερμοῦ τῆς διαθέσεως γίνεται, καίω δὲ καὶ παρυφιστάμενα φαίνεται, ὑπολειπούσης τῆς τροφῆς τῷ ἀνθρώπῳ, ἤδη πεπτομένη καὶ τρέφουσα. Ταῦθ' ὑφίσασι σύμβολα τῆς τροφῆς. Ἀλλ' ἐπειδὰν ἀεὶ ἐν ὑστέρῳ τὰ τὸ θερμὸν αὖθις ἀπορροῦν τροφῆς ἐκεῖνο ἤδη μὲν αὐτὸ καταμαραίνεται. ἤδη δ' ἡ ἕξις πάσχουσα χω=ρεῖν μαραινομένου τούτου θερμοῦ πρὸς τὸ ψυχρότερον, καὶ τὰ λευκὰ καὶ φαῦλα. Εἶθ' οὕτως ἐπὶ τὸ χεῖρον ἀποδίδωσι προχωροῦντα χρώματα, καὶ συστάσεις δὲ τοῖς χρώμασι καταλλήλους. Ἀλλ' ὁ μὲν περὶ τούτων τέ καὶ τοιούτων λόγος ἀρκούντως εἰρῆσθαι μοι, ἐπεὶ δὲ ... ἤδη: μή πως καὶ λάθωμεν τῇ ἐπὶ τούτῳ πλείονι διατριβῇ, τὸ σύμμετρον ἀποδιδόναι μέτρον τῷ λόγῳ, ὥστε καὶ ἄλλους ἐπὶ τοῖς λειπομένοις διαλαβεῖν λόγους, καὶ παθεῖν τὸ τῶν ἀπειροτέρων, οἳ διὰ βραχυτέρας ὁδοῦ τὸ σπευδόμενον καταλαβεῖν ἐφιέμενοι, διά τινας ἑτέρας ἐκτοπιστέρας διατριβὰς, ἐπὶ μακρᾶς αὐτοὺς περιόδους ἐμβάλλουσιν. Ὥστε δίκαιον ἂν εἴη ὡδέ ποθεν ὡς ἀφ' ἑτέρας ἀρχῆς τῶν ἐπὶ τοῖς λειπομένοις ἐξαιρουμένων, ἁπλῶς αἰ=τιῶν. Οὕτω γὰρ ἡμῖν ῥᾴδιόν τε καὶ συντετμημένον ἀποδοθείη τοὐγχείρημα. Προχεῖρον δὲ τοῖς ἐν βραχέσι λόγοις πολλὰς ἀφορμὰς μαθεῖν σπεύδουσι, μαθημάτων.

Κεφ. ιδ.

Κεφ. ιδ'.

Περὶ αἰτίας τῶν κατὰ τὰ γενικὰ τῶν νοσημάτων οὔρων.

Ῥητέον τοίνυν κἀνταῦθα περὶ τῶν ἐν τοῖς γενικοῖς τῶν νοσημάτων ἀναφαινομένων οὔρων, καὶ τὰς τούτων προσηκούσας αἰτίας. Οὕτω γὰρ προσήκει μὲν τὴν ἐκ τῶν κεφαλαίων ὁ λόγος ἀπολάβοι συντέλειαν, πέρας δ' οἰκεῖον ἀποδοθῇ παντὶ τῷ λόγῳ. Εἴρηται τοίνυν ἐν τοῖς περὶ διαγνώσεως οὔρων λόγοις, ὡς ἐπὶ τῶν ἐφημέρων πυρετῶν φιλεῖ τἀλλοῖα, καὶ οὐκ ἐλάττους προσεπιθέντες αἰτίας ἀναξιολόγως αἰτεῖ τὰ οὖρα μεταβαλλόμενα, καθ' ὃ γὰρ ἂν τύχῃ μεταβληθὲν βραχέως πάνυ καὶ ἀσαφῶς μεταβάλλεται. Τῶν γάρ τοι ἐφημέρων πυρετῶν διαπνεόντων μᾶλλον ἐπὶ τὸ θερμότερον ἀλλοίωσιν γενομένων, εἰκότως οὐδὲ πάνυ ἐπίδηλος ἡ ἐν τοῖς οὔροις γίνεται ἀλλοίωσις. Ἀπὸ μὲν τῶν μικρῶν προφάσεων βραχέων καὶ τῶν κινημάτων γινομένων, μειζόνων δ' ἀπὸ τῶν ἀξιολογωτέρων. Ἐπειδὴ γὰρ οὖρα μὲν ἀλλοίωσιν τῶν χυμῶν δείκνυσιν, οἱ δ' ἐφήμεροι τῶν πυρετῶν ἐπὶ ταῖς πνεύματος ὡς εἰπεῖν μεταβολαῖς ἐπὶ τὸ θερμότερον γίνονται, οὐκ ἀξιόλογόν τι ἂν ἀλλοιωθείη τὰ οὖρα. Πρὶν γὰρ τῶν χυμῶν αἰσθέσθαι ὅλων τῆς ἐπιγινομένης ἀλλοιώσεως τῷ φυσικῷ πνεύματι, οὗτοι προσπαύσαντες ἐλύθησαν ταχυτῆτι διαίτης, ἀλλ' ἐπὶ μὲν τῶν ἐφημέρων πυρετῶν βραχείας τινὸς τῆς μεταβολῆς γεγενημένης μέτριαι καὶ αἱ τῶν οὔρων φαίνοιντ' ἂν ἀλλοιώσεις. Ἂν τις δὲ τύχῃ προσοῦσα ὕλη τῷ σώματι διεφθαρμένη, ἐπιτηδεία μὲν εἰς ἔξαψιν, βραχείας δέ τινος τῆς κινήσεως δεομένη, ῥᾳδίως ἐντεῦθεν ἐξάπτεταί τε καὶ καταπίμπραται, τῆς ἐπὶ σήψει μὲν ἀναγκαίως πυρετοῦ. Ὅσα δὲ οἷα ἐπὶ σήψει χυμῶν προβάλλονται πυρετοὶ ἀποδείξασθαι περὶ ὧν νῦν ἐρῶμεν. Τῶν τοίνυν ἐπὶ σήψει χυμῶν γεγενημένων πυρετῶν ὅσοι μὲν ἐν ὅσοι διαλείποντες, ἀλλοῖα οὖρα προβάλλονται, ὅσοι δ' αὖ συνεχεῖς, ἀλλοῖα, διά τε τὴν διαφθαρέντων χυμῶν διαφορὰν, καὶ τὴν ἐπὶ τούτοις συνέχειάν τε καὶ διάλειψιν. Ῥητέον τοίνυν ἡμῖν πρώτως μὲν περὶ τῶν διαλειπόντων γινομένων πυρετῶν, τὰς αἰτίας τούτων ἀποδιδοῦσιν· εἶθ' οὕτως καὶ περὶ τῶν ἑξῆς, καθὼς ἂν ὁ λόγος ἀποδώσει προβαίνων.

255

Κεφ. ιε.

Περὶ αἰτίας τῶν κατὰ τοὺς τριταίους ἀμφοτέρους οὔρων.

Τῶν ἀκριβῶν νῦν τριταίων τὰ οὖρα πρός τε τὸ πυῤῥὸν καὶ ξανθὸν ὡς εἴρηται χωρεῖ τῶν χρωμάτων· συστά=
σει δ' αὐτὰ καὶ τοῦ συμμέτρου φαίνονται παχύτερα· καὶ ταῖς μὲν ἀρχαῖς οὐδέν τι προβάλλεται παρυφιστάμενον.
Τοῦ χρόνου δὲ προϊόντος, τά τε παρυφιστάμενα φαίνεται, καὶ τὰ χρώματα χωροῦντα πρὸς τὸ σύμμετρόν τε καὶ
κατὰ φύσιν· καὶ αἱ τοῦ καθήκοντος νοσήματος λύσεις, διαλαχὼς ἥκουσιν, ἐλπίζονται ταῖς πέψεσιν ἐπιγε=
νήσεσθαι. Τοιαύτη τίς ἡ τῶν τριταίων ἐπὶ τοῖς διαλειπόντων πυρετῶν διάγνωσις, ἐκ τῶν οὔρων
φαίνεται. Νῦν δ' ἂν εἴη χρεὼν καὶ τὰς ἐπὶ τούτοις ἀποδεδομένας αἰτίας. Τῆς τοίνυν ξανθῆς χολῆς αὐξη=
θείσης δι' οἵας δή τινας αἰτίας ταύτην ἀποφαινούσης, καὶ τῶν φλεβωδῶν ἀγγείων ἀποπλανωμένων αὐτῶν, οἱ τρι=
ταῖοι μὲν οὕτω καλούμενοι γίνονται πυρετοί, οἱ διαλειμμένα δὲ καθίζονται· ἅτε μὴ τῶν φλεβῶν αὐτῆς τῆς
πλείονος οὔσης ὕλης, κεκοινωνήκασι μὲν γὰρ καὶ αὗται ταύτης τοῦ χυμοῦ διά τε τὴν ἐγγύτητα καὶ
τὴν τοῦ χολώδους χυμοῦ πληθώραν, ἀλλ' οὐκ ὥστε καταπεραθῆναι καὶ τὴν τοῦ αἵματος γλυκύτητα· ἢ γὰρ
ἂν καὶ συνεχεῖς ἦσαν οὕτω πυρετοί. Ἐπεὶ τοίνυν τῶν μὲν ἀγγείων ἐκτὸς καθέστηκεν ὁ τοιοῦτος χολώ=
δης χυμός, σκοπητέον ὅπως διὰ τοῦτο τίνα σημαίνοντα καὶ τὰ διαλείμματα δεῖξαι. Χρωσθείη δ' αὐτὰ οὖρα
κατὰ τὴν τῆς χολῆς ἐπίθεσιν. Ἐπειδὴ καὶ μὴ πάνυ διαφθαρεὶς ὁ χολώδης οὗτος χυμὸς ἐν τοῖς τρι=
ταίοις ἀνάπτεσθαι πυρετοῖς, τὰ μὲν χρώματα οἷα δὴ καὶ λέλεκται δείκνυται· διὰ δὲ τὸ πλῆθος
καὶ σύμμετρον τῆς χολῆς πάχος, διὰ τῶν οὔρων ἀποκρινόμενοι συμβαίνει καὶ τῆς συμμέτρου φαίνε=
σθαι τὴν σύστασιν παχυτέραν. Ἐπιλείπει δὲ τὰ παρυφιστάμενα ταῖς ἀρχαῖς διὰ τῆς ἀπεψίας καὶ
ἐμφράξεως τινος λόγῳ. Ἐπεὶ γὰρ οὔπω πέφθηκεν ἡ φύσις καθαρατῆσαι τῆς ὕλης, οὐδὲ πέψεσιν
ὁλοσχερῶς ἐπιχείρησιν· ὥστε οὐδὲ παρυφιστάμενα διὰ τοῦτο φαίνεται σύμβολα καθεστηκότα
τῆς πέψεως. Ἐπειδὰν μέντοι ἑαυτὴν ἀποσυναγάγῃ τε καὶ ῥώσῃ, ἀπωθεῖται δὲ τὰ περιτ=
τὰ, προσλαμβανομένη τὰ δέοντα, καὶ καλῶς καὶ κατὰ κόσμον διαθείη τὰ κατὰ τὸν
λυποῦντα χυμὸν, ἤδη μὲν πέψεως ἐπιφαίνονται σημεῖα, τὰ παρυφιστάμενα· δηλο=
νότι πρὸς τὸ σύμμετρον δὲ τά τε χρώματα καὶ αἱ συστάσεις χωροῦσιν. Ἀλλ' ὁ μὲν

περὶ τῶν

περὶ τῶν ἐπὶ τελείοις ἀποστάσεσιν οὔρων λόγος λείποιτο ἂν ὡς βραχὺ φάναι ῥηθείη. Νόθων δὲ γινομένων οὖρα καὶ τὸ πυῤῥὸν μὲν ὑπερβάλλει τοῦ χρώματος, ἤδη δὲ καὶ οἰνωπὸν προβάλλεται. τῇ δὲ συστάσει ταῦτα καὶ ἐπὶ τοῦ ἀκριβοῦς τελείου παχύτερα· τὰ δὲ παρυφιστάμενα τούτων ἤτοι μείω τε καὶ φαῦλα, ἢ τὴν ἀρχὴν οὐδ' ὅλως γίνονται. Ἀκούοι ἂν τις ἄλλως φαίη τὸν τοιοῦτον νόθον τελεῖον πλήθει τε καὶ ποιότητι χολῆς τῶν ἀκριβοῦς ... ὑπερβάλλεσθαι· ἄρα καὶ πλείονος διὰ τοῦτο εἰς πέψιν δεηθῆναι χρόνου. Καὶ γὰρ τὰ τοιαῦτα οὖρα, καὶ πάλαι δέδεικται ἐν τοῖς περὶ διαγνώσεως τε καὶ αἰτίας χρωμάτων λόγοις ὑπὸ πλείονός τε καὶ φαυλοτέρας γίνεται χολῆς. Οὐ θαῦμα δ' ἂν εἴη, εἰ πλείονος εἰς πέψιν χρόνου τοῦτο δεήσεται· πολλῆς μὲν οὔσης τῆς διαπεπτέσθαι ὕλης, πλείονος δὲ τοῦ χρόνου δεομένης εἰς πέψιν, κραταιᾶς δὲ τῆς δυνάμεως. Τάχα δ' ἄν τι καὶ τῆς προγνώσεως περὶ τούτου ῥηθείη. Νῦν δ' ἐφ' ἕτερον ὁ λόγος μεταβαινέτω κεφάλαιον, ἃ μηδόλως ἐκλείποις ἂν τοῖς δή. ~~~

Κεφ. 15.

Περὶ αἰτίας τῶν κατὰ τοὺς ἀμφημερινοὺς οὔρων.

Τοῖς καθαίρουσι ... ἀπὸ φλέγματος μᾶλλον τὴν ἀρχὴν εἰληφόσι τῆς συστάσεως, λεπτὰ μὲν καὶ λευκὰ ταῖς ἀρχαῖς τὰ οὖρα φαίνεται. Τοῦ χρόνου δὲ προϊόντος, ταῖς ἀνόδοις μᾶλλον τῶν ἡμερῶν, ἀθρόα καὶ ὠμὰ δείκνυται ἔστι τὰ παρυφιστάμενα, καὶ ποτε δ' ὅλως ἀναβάλλεται τὰ χρώματα· Ταῖς δὲ τῶν παροξυσμῶν ἀκμαῖς, ἔτι πως λεπτὰ καὶ τὰ παρυφιστάμενα, μέτριά τε καὶ λεπτὰ προβάλλεται πρὸς λύσιν κεχωρηκότα τοῦ πάθους. Ἐνίοτε γε μὴν καὶ μέλανα φαίνεται τὰ οὖρα, τὴν τοῦ κατέχοντος ὑπαγορεύοντα πάθους ἀπόλυσιν. Ὅσοι γε μὴν διὰ τὰ ... παροξυνόμενοι πυρετοὶ ἔληξαν παρέχουσι τοῦ ῥηθέντος ... φαυλότεροι· πολλῷ δέ γε λείπονται διὰ τὸ μᾶλλον ἐπὶ θάρρει τοῦ ἥπατος γίνεσθαι δυσκρασίας. Ὑπέρυθρα μὲν καὶ ἐρυθρὰ καὶ οἷα ἢ σανδαράκη οὖρα προβάλλονται· λεπτὰ δὲ τῶν συστάσεων, πάντως· ἐνίοτε δὲ καὶ παχύνονται. Τὰ γε μὴν παρυφιστάμενα καὶ ταῦτα, οὐκ ἄμοιρα χρωμάτων πυῤῥῶν καθέστηκεν. Ἔστι δ' ὅτε δὲ καὶ ἀνώμαλα τούτων τὰ παρυφιστάμενα φαίνεται, ὥσπερ καὶ τῶν χυμάτων τὰ χρώματα. Δέδεικται

μὲν οὖν

μὲν ὅτι ἐν ἄλλοις, ὡς ὁ τεταρταῖος διαλείπων πυρετὸς, ἅτε διὰ τῆς ψυχρά τε καὶ ξηρὰ τῇ τὸν μελαγχολικὸν
ἀπογεννῶσι χυμὸν συνίσταται. Ὅταν τοίνυν ὁ τοιοῦτος αὐξηθῇ χυμὸς, καὶ κατὰ τὸ τοῦ σπληνὸς ἀπερειδηθῇ σπλά-
γχνον, τὰς διὰ [illegible] μὲν αἱ πάλαι παροξυσμοὺς. λεπτὰ δὲ καὶ λευκὰ τὰ οὖρα προβάλλεται. Τοῦ γάρ τοι τοιούτου χυμοῦ
παχέος μὲν ὄντος, καὶ διὰ τοῦτο ἐμφράττοντος καὶ ἄλλως δὲ ψυχροῦ τυγχάνοντος καὶ τὴν ἔμφυτον ἐκεῖθεν ἀπο-
στῆναι [illegible], φαῦλαι μὲν αἱ πέψεις γίνονται, λεπτὰ δὲ καὶ λευκὰ τὰ οὖρα φαίνεται· οὐχ ἧττον διὰ
τὴν [illegible] τοῦ χυμοῦ ψυχρότητος [illegible]. ἢ διὰ αὐτὴν ἐπὶ τοὺς πόρους [illegible] ἀποπομπῆς. Ἐμφράξας γὰρ ὁ αὐ-
ξηθεὶς χυμὸς διὰ τὴν παχύτητα, ἔτι καὶ τῶν διὰ [illegible] ψυχρότητα λεπτῶν, λεπτότερα προϊέναι ποιεῖ. Τῷ
γε μὴν χρόνῳ προϊόντος καὶ τῷ χρόνῳ τοῦ χυμοῦ λεπτυνομένου, ἐνδότερος μὲν ἡ ὕλη γίνεται ἤδη τοῖς οὐ-
ρητικοῖς ἀγγείοις, ἀθρόαι δ' ὑποστάσεις ἐπιφαίνονται. ἢ μὲν καὶ δι' ὅλου ἀναλογώτερα τὰ οὖρα. Ἀλλὰ τὰ μέν-
τοι [illegible] καὶ τὰ [illegible] διὰ τὴν [illegible] ἤδη [illegible] ἐπιφαίνεται τῶν χυμῶν, αἱ δὲ [illegible]
[illegible] διὰ τὴν [illegible] τοῦ χυμοῦ ψυχρότητα. ἢ τὴν [illegible] ἀπαρχὴν σύμμετρον οὐκ ἐᾷ σύστασιν τοῖς οὔροις
[illegible]. Οὐ θαῦμα δ' εἰ καὶ μελάνων διαχωρήσεων [illegible] τοῦ τεταρταίου. Αὐτὸς γὰρ ὥσπερ ἀρχὴ
καὶ ῥίζα πέφυκεν ὁ μελαγχολικὸς χυμὸς τοῦ τεταρταίου. [illegible] ἐκκρινόμενος ἤδη ἀφαιρεῖ [illegible]
σι τὸν ἄνθρωπον τοῦ νοσήματος. Οὐκ εἶδα δ' ὅποι φυτοῦ ῥίζας ἀποθερμανθείσας, ἢ πρὸς ἐμφανὰς χωρησάσης
οὐχὶ καὶ τὰ μετ' αὐτὴν ὡς τὴν ἀρχὴν ἀπολωλεκότα διαφθαρῆναί τε καὶ μαρανθῆναι. Ὁ δὲ ἀφ' ἥπατι κα-
λῶς [illegible] τεταρταῖος κατὰ [illegible] λόγον τοιαῦτα οὖρα προβάλλεται· αὐτοῦ γὰρ δὴ τοῦ σ-
πλάγχνου φλεγμαίνοντος, καὶ ἄλλως δὲ ἀποτεταμένοις θερμαινόντων δ' ἐπιρρέουσι [illegible]
[illegible] θερμαίνεται μὲν τὸ φλεβῶδες γένος, ἀνάπτεται τὸ αἷμα, ἡ δὲ χολὴ [illegible]
διατίθησιν οὕτω τὸ σῶμα, ὥστε συμβαίνειν καὶ τὰ οὖρα διὰ ταῦτα εἰς τοιοῦτον χρώματος εἶδος
μεθίστασθαι· ἀνώμαλα γε μὴν ἐφ' ὅλου τούτου χρώματα φαίνεται. διά τε τὰς ἐμφράξεις καὶ μὴ
προσηκούσας διαίτας, ἤτοι τοῦ χρωννύντος ἐμφραττομένου χυμοῦ, ἢ καὶ μεθισταμένου ἀφ'
ἑτέρου τοῦ σώματος μέρη. Εἴγε μὴν καὶ σφυγμοῦ ἄτακτος δεῖ, οὐκ ἀκριβῶς ἐντεῦθεν ἂν στοχάσαις
τοῦτον διαλείποντα τεταρταῖον πυρετὸν, ὥστε καὶ συνεχῆ μᾶλλον ἄν τις φαίη διὰ τὸ [illegible] παροξυ-
νόμενον. Ἐπεὶ οὕτω καὶ τοῖς ἐπικρατέσι ὥσπερ συνήθεις τῶν ὀνομάτων [illegible] χρεὼν
ἁπλῶς καὶ οὗτος τεταρταῖος κεκλῆσθαι, δόξαν οὕτω τοῖς πλείοσι.

Κεφ. ιζ.

Κεφ. ΙΖ.

Περὶ Αἰτίας τῶν κατὰ τοὺς ἐπὶ σήψει συνεχεῖς πυρετῶν οὔρων.

Ἐφημερινοῦ γε μὴν οὖρα λευκὰ καὶ λεπτὰ καὶ ὑδατώδη πρώτως τοῦ χρόνου δὲ προϊόντος καὶ παχύνεται, καὶ ἐρυθρὰς διαλάμπουσιν ὑποστάσεις, ἤδη τοῦ χυμοῦ πεπτομένου. Καὶ ὁ τοιοῦτος πυρετὸς ὡς εἴρηται ἀπὸ ψυχρῶν τε καὶ ὑγρῶν τροφῶν, καὶ παραπλησίου χυμοῦ διαίτης ἀπογεννώμενος συνίσταται· ὥστε καὶ διὰ ταῦτα πάντα τὸν ὠμὸν οὕτω καὶ φλεγματώδη ἐψυγμένον χυμὸν φαίνεσθαι· λεπτυνεῖν μὲν τὴν ἔμφυτον θερμότητα τῇ παχύτητι τῆς σήψεως, ἀποκλείειν δὲ τοὺς πόρους· ὥστε λεπτά τε καὶ λευκὰ καὶ ἀνυπόστατα διὰ ταῦτα τὰ οὖρα φαίνεται. Καὶ τοῦ μὲν ὡς εἴρηται φυσικοῦ καταπεσόντος χυμοῦ, ἀλλοίωσίς τις καὶ πέψις καὶ θρέψις γίνεται. Τούτου δὲ τοῦ εἰκαίου τόνου διαπεπτωκότος(?), καὶ τὰ οὖρα διηρθρωμένα φαίνεται τοῦ προσήκοντος. Ἀναγκασθείσης μάλιστα τῆς ἀρχῆς θερμότητος λεπτύνεται μὲν τὸ πολὺ τῆς παχύτητος, διακρίνεται δὲ τὸ περιττὸν τῆς ὠμότητος. Ἀλλ' ὁ μὲν περὶ διαλειπόντων πυρετῶν λόγος, ἐφ' ὅσας ἀποδεδωκὼς εἰς αἰτιολογίαν προφάσεις [illegible] καὶ πανταχοῦ(?). Ἑξῆς δ' ἀπιτέον(?) τῶν ἐπὶ σήψει συνεχόντων τε καὶ συνεχῶν, καὶ τῶν ἐφ' οἵας δή τινος ἀμέτρου γεγενημένων θερμότητος. Εἶθ' οὕτως καὶ ἐπὶ τῶν ἀπὸ ψυχρότητος οἵας δή τινος, εἶθ' ὅπως καὶ τὰς ἐπ' αὐτῶν αἰτίας ἀποδιδοὺς ὁ λόγος, καὶ αὐτὸς ἴσως οὕτως συμπαρανύειν(?).

Κεφ. ΙΗ.

Τῶν τοίνυν ἐπὶ σήψει συνεχόντων τε καὶ συνεχῶν ἐπὶ τὸ χεῖρον μὲν ῥεπόντων(?) τῶν οὔρων φαῦλα δὲ καὶ τὰ παρυφιστάμενα τότε φαίνεται, καὶ ποικίλην κατὰ τὴν τῶν σηπομένων(?) χυμῶν περίστασιν(?). Τῶν γάρ τοι ἐπὶ σήψει πυρετῶν, ἤτοι ὑπὸ ἀκραιφνοῦς γεγενημένων διασαπείσης χολῆς, ἢ ὑπὸ αἵματος ἢ χυμοῦ φλεγματώδους, ἢ μελαγχολικοῦ ἢ καὶ ἐκ πάντων συμμεμιγμένων

ὥσπερ

ὥσπερ καὶ ἐκ δυοῖν ἢ τριῶν χυμῶν συμπεπλεγμένων διαφόρων. Τῶν μὲν ἀφ' ἁπλοῖς χυμοῖς γεγενημένων πυρετῶν ῥᾷστ' ἄν τις οὔρῃ τὰς διαγνώσεις, καὶ τὰς αἰτίας, αἷθ' οὕτως ἀποδοίη. Τῶν δὲ συμπεπλεγμένων δυσχερὴς μὲν ἡ ἀκριβὴς διάγνωσις, καὶ ἡ ἀπορία ὀνομάτων ἠμοίρησεν οἰκείων. Ἐντεῦθεν τῶν μὲν ἁπλῶν ὡς ἀναλόγων ἐπιμνησθῶμεν, καὶ πάλαι διασαφήσαντες περὶ τούτων ἐν τοῖς περὶ διαγνώσεως οὔρων λόγοις. Τὰ δὲ συμπεπλεγμένα ἅπερ ὀνομάτων οἰκείων ἠμοίρησεν, ἐάσομεν τοὺς περὶ τὰ τοιαῦτα σπουδαίους ταῖς ἐπινοίαις μανθάνειν. Τῶν οὖν ἐπὶ σήψει αἵματος πυρετῶν τὰ οὖρα ἐπέρυθρα μὲν καὶ ἐρυθρὰ καὶ οἰνωπὰ ποσότητι μετρίᾳ, πολὺ δὲ καὶ παχύνεται, καὶ παραπλήσια προβάλλεται τὰ παρυφιστάμενα· ἐπεὶ τοίνυν ἐπεὶ τοῦ αἵματος ἐπίδοσις ἐν ταῖς φλεψὶν ἐπικρατεῖ. ὅτε δ' ἐπίδοσις τὸ μᾶλλον ὑπερβάλλουσα τὸ προσῆκον, κἄν τις ἐπῇ διαφθορά, εἰκότως ἂν τοσοῦτο μὴ κρατεῖσθαι διὰ πλῆθος τὸν αἱματικὸν τοῦτον χυμὸν ὅσον ἀκραιφνῆ τοῦτο καὶ περιττὸν ἐν οὔροις ἀποδίδοται, καὶ τὰ ἐπὶ τοιαῦτα ἀποδίδωσι χρώματα. Εἴωθε γὰρ μὲν ταχύτερα τῶν λοιπῶν παχύνεσθαι τὰ τοιαῦτα διὰ τὴν τοῦ διαμαρτυρουμένου ὁμοιότητα χυμοῦ. Βραχείας γάρ τινος οὗτος ἐπιδεῖται ῥοπῆς εἰς πάχος. Ὅτι δὲ ἐν [illegible] τὸ πλῆθος, καὶ τὰ παρυφιστάμενα [illegible] τὸ κατὰ φύσιν ἀπολαύοντα χρῶμα· χολῆς δ' ἐπικρατούσης καὶ συσσαπείσης ἐν τῷ φλεβώδει γένει, μετρίως μὲν ξανθὰ καὶ ἐρυθρά, πλειόνως δὲ κυανᾶ τε καὶ χλωρὰ καὶ ἤδη μέλανα, χολώδη δὲ καὶ πάνυ φαῦλα αἷμα πάσχειν τὰ παρυφιστάμενα. Τοῦ γάρ τοι θερμοῦ κρατήσαντος χυμοῦ, καὶ τὸν αἱματικὸν τῇ κοινωνίᾳ διαφθείραντος χυμόν, τῷ θερμῷ πλήθει καὶ τῇ ποιότητι μεταβάλλοντα τὴν δύναμιν, συναναδιδομένου δὲ καὶ τοῖς θρέψασι χυμοῖς, δεινὰ μὲν τὰ παρυφιστάμενα δείκνυται. Φαῦλα δὲ καὶ τὰ χύματα. Ἐπὶ δὲ τῷ φλέγματι συσσαπέντα, οἷον συνεχεῖ πυρετῷ, ὑπόλευκα μὲν καὶ παχέα, οἷα τὰ λευκά τε καὶ χαροπά. Τῷ γὰρ χρώματι διασημαίνει τὴν τοῦ κρατοῦντος χυμοῦ ποιότητα. Εἰκότως δὲ καὶ αὐτὸ τὰ παρυφιστάμενα διὰ τὸ τοῦ χυμοῦ δυσκατέργαστον. ἤτοι τῷ πλήθει τοῦ κρατοῦντος τῆς ἐμφύτου δυνάμεως δι' ἑαυτὴν πασχούσης, καὶ ὑπὸ ὀλίγων χυμῶν ῥᾳδίως καταπονουμένης.

Μελαγχολικὸς δ' εἴποτε διασαπείς τε καὶ διαφθαρεὶς τῷ αἵματι χυμὸς πυρετὸν ποιήσειεν, ἀγαπητὸς καὶ οὗτος κατὰ τὸν ἐπιπλεγματώδη κεκτημένον χυμῷ· λευκὰ μέν τοι ἴσως καὶ λεπτὰ πρώτως ποιήσει τὰ οὖρα, συμπεπαίνον δ' ὡς πρὸς ἔξοδον φαιά τε καὶ μέλανα. Τὰ μὲν οὖν πρῶτα διὰ τὴν ἐπικράτησιν τοῦ χυμοῦ

καὶ διὰ τὴν

μὴ διὰ τὴν ἐπὶ τὸ ἀνθρώπῳ ὁρμήν. Καὶ ταῦτα μὲν δεῖ, μέντοι γε εἰδέναι περὶ γὰρ τῶν [illegible]

ἀλλ' οὐχὶ τῶν ὡς ἐπὶ τὸ πολὺ φαινομένων ἡμῖν αἰτιῶν σπουδάσασθαι.

Κεφ. ιθ.

Περὶ Αἰτίας Οὔρων τῶν κατὰ θερμὴν διάθεσιν καιρίων πεπονθότων μορίων.

Περὶ δὲ τῶν κατὰ τὰς φλεγμονὰς καὶ ἐρυσιπέλατα καὶ τὰ τοιαῦτα πεπονθότας τόπους οὔρων, εἴρηται μὲν ἐν τοῖς περὶ διαγνώσεως οὔρων ἀρκούντως. Νῦν δὲ τὰς αἰτίας ἀποδοτέον. Καί γοῦν ἀρχομένης τῆς τοῦ θερμοῦ πηγῆς ἤτοι ἐρυθρότερα καὶ κιρρότερα μᾶλλον τὰ οὖρα χρώννυσι, διὰ τὴν τῶν μορίων συνδιάθεσιν συμπάθειαν. Λεπτὰ δὲ πρῶτως φαίνεται καὶ πυρωδέστερα, ἐφ' ὅτι διὰ τὴν ἐπισωρευθεῖσαν ὕλην τῆς παρὰ φύσιν [illegible] [illegible] πεπέφθαι: καὶ διὰ τὸ τὴν φύσιν ἀεὶ περιττὰ καταπαύειν ἐκκρίνειν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν καὶ τῶν φαυλοτέρων ταύτης ἐπιλαθέσθαι τῶν οἰκονόμων τούτων πολλῷ γε συμπαθέστερον πεφυκυῖαν: τοῦτο δὲ ἢ τῷ τὴν ὕλην ὑπερβάλλειν ἢ τῷ τὴν δύναμιν αὐτὴν προαποκαμεῖν τοῦ ἀγῶνος γίνεται. Πεφθείσης δ' ἤδη τῆς φλεγμονῆς παχύνεται μὲν τὰ οὖρα, καὶ ὑποχαλᾶται τῆς ἐπιπεταμένης χροιᾶς. Ἀθρόας δὲ καὶ διεξελθούσης τῆς ὑποστάσεως ἔχει, ἐκεῖθεν ἀποκρινομένης τοῦ περιττοῦ. Ἔστι γε μὲν ὅτε καὶ πύον ὤφθησαν διουρηθὲν ἀπὸ τοῦ πεπονθότος τόπου.

Κεφ. κ.

Περὶ Αἰτίας Οὔρων τῶν κατὰ ψυχρὰν διάθεσιν καιρίων πεπονθότων μορίων.

Τῶν γε μὴν ἐπὶ ψυχρότητι πεπονθότων μορίων λεπτὰ μὲν καὶ λευκὰ ὡς εἴρηται τὰ οὖρα φαίνεται, καὶ ἀνυπόστατα τὸ πλεῖστον: [illegible] ὅτε [illegible] καὶ παχέα καὶ [illegible] [illegible] καὶ φλεγματώδη. Πολλοῦ τοίνυν τοῦ κατὰ τὸ λευκὸν πλάτους τεθεωρημένου, κατὰ τὰ μέτρα τῆς ψυχρότητος καὶ ταῦτα μεταβάλλεται. Ἐπειδὰν γὰρ μέτριον τὸ [illegible] [illegible] [illegible] καὶ πλείω ψυχρότητα, κατὰ μὲν τὴν τῶν ψυχροτάτων ποσότητα, καὶ τὰ οὖρα συμμεταβάλλεται. Ἐπὰν γὰρ ἡ ἐπικρατοῦσα ψυχρότης προιοῦσα, καὶ μέχρι αὐτῆς

καρδίας

τῆς καρδίας ἀφίκηται· μαλακύνει μὲν τὸν τῆς καρδίας τόνον ὡς οἷόν τε, ἀθανάσιμον δὲ τὸ θυμικὸν ποιεῖ. Καθ' ὅσον δ' ἂν αὐτὸ μαλακισθὲν ἀπαγορεύσαι τὴν οἰκείαν ἐνέργειαν, ἀθανάσιμοι μὲν αἱ πέψεις γίνονται, πέψεων δ' ἀθανάτων οὖρα φαίνεται. Καὶ ταῦτα μὲν οὖν καὶ τοῖς περὶ διαγνώσεως οὔρων εἴρηται, ὡς ἐν δὲ τῷ περὶ τέσσαρ ἐν κινήσεσιν λόγον. Ἐπεὶ δὲ καὶ ὁ πᾶς περὶ αἰτίας οὔρων λόγος ἤδη ἱκανῶς ἀποδέδεικται ἤδη καὶ τὸ παρρησίας βαίνειν ἀκριβῶς, καί τοι πολλῶν ἑτέρων διαφερόντων τὸν λόγον εἰς ἐπίδοσιν. Ὥς ἂν μήτε νόμος ἡμᾶς ἀπείργῃ βραχυλογίας, ἐπιθήκαμεν ἐν τῷ λόγῳ καὶ ἕτερον· τὸ περὶ τὰς ἀφορμὰς τῶν διαγνώσεων, τὸ θεωρητικὸν τῆς τέχνης ἐνδεικνύμενοι φιλότιμον. Ἀποχρῶσαν δ' ἂν ὁ λόγος τὴν ἐν πᾶσι σχοίη συνθήκην, εἰ μετὰ τοὺς περὶ αἰτίας λόγους, τοὺς περὶ προγνώσεως θείημεν· χρησιμώτεροι μὲν τῇ τέχνῃ τυγχάνοντας, προφήτας δ' ὄντας τῶν τῆς φύσεως κινημάτων, τοὺς περὶ τὰ τοιαῦτα σπουδαίους ἀπεργαζόμενοι. Θεοῦ δ' ἂν εἴη καὶ τοῦτο δῶρον εἰ κατὰ θυμὸν καὶ τοῦ δὲ τοῦ λόγου τὸ μέρος προβαίνῃ, δόξαν μὲν οὐκ εὐδιάβλητον περιποιούμενον τοῖς μαθοῦσι, λυσιτελοῦσαν δ' οὐκ ἀγεννῆ τοῖς κάμνουσιν. Ὥστε καὶ διὰ ταῦτα πέρας, ὁ περὶ αἰτίας οὔρων λόγος ἐχέτω· ἀναληπτέον δ' ἤδη καὶ τοῦ περὶ προγνώσεως οὔρων. ~~~~~~~~~~

Ἀκτουαρίου περὶ
Αἰτίας Οὔρων Β
Τέλος.

ΑΚΤΟΥΑΡΙΟΥ ΠΕΡῚ ΠΡΟΓΝΩΣΕΩΣ ἘΞ ΟΥΡΩΝ

ΤῸ Α·

Τὰ δὲ ἄνξιν



Τάδε ἔνεστιν ἐν τῷ περὶ προγνώσεως ἐξ οὔρων

Ἐδόκει ~

Ἀκτουαρίου Περὶ Προγνώσεως ἐξ οὔρων. Τὸ α.

Ἔοικεν ἴσως τῶν τὰς προγνώσεις διαβάλλειν προχείρως, μὴ οἷόν τε εἶναι τινὰ περὶ τῶν ἀποβησομένων προειδέναι ἐν τοῖς κατ᾽ ἀκολουθίαν φύσεως γινομένοις πράγμασιν· ἐπεὶ δὲ τοῦτ᾽ αὐτὸ λέγειν τε καὶ διαβάλλειν ἡ τοσαύτη καλύπτουσα τῶν γινομένων κατὰ φύσιν ἄγνοια, καὶ ἡ περὶ τὰ ἀγαθὰ τῶν μαθημάτων ζηλοτυπία. Ὥστε καὶ δέος οὐκ ὀλίγον ἐνεποίει τοῖς κατὰ λόγον ἐπιστήμης τὸ προειδέναι μετιοῦσιν ἡ τῶν προχείρως τὰς προγνώσεις διαβάλλειν αὐθάδεια. Ὅτε γὰρ οἵους δή τινας σχηματισμοὺς ἀστέρων καὶ ποιότητας ἐξετάζοντας, συνόδους τε καὶ διαστάσεις, καὶ ἄλλ᾽ ὅσα ἐπὶ τούτοις λέγεται καὶ γράφεται, καὶ τούτους τὰς περὶ τὰ στοιχεῖα ἀλλοιώσεις οἵας δή τινας προεπιγινώσκοντας τῇ θεωρίᾳ τῆς ἐπιστήμης εὐλαβοῦνται τὸ τῶν πολλῶν ἐς διαβολὴν πρόχειρον, καὶ σιωπᾶν ἄμεινον τίθενται. Εἰσὶ γὰρ οἳ καὶ τερθρείας ταύτης καὶ ὁμιλίαις μᾶλλον δαιμονίων προσάπτουσι τὴν ἐξ αὐτῶν εὕρεσιν περὶ τὰς κατὰ φύσιν ἀλλοιώσεις γινομένας ἄγνοιαν ἐξελέγχοντας. Οἵτε ἀστροσκοπίαις καὶ τισι παραπλησίαις φυσικαῖς ἀρχαῖς τῶν καθ᾽ ἡμᾶς πραγμάτων προσφωνοῦσι τὸ ἀποβησόμενον, λανθάνειν μὲν πειρῶνται διὰ τὸ τῶν πολλῶν ἀπίθανον. Κινδυνεύει δ᾽ οὕτω τὰ καλὰ μαραίνεσθαι τῷ χρόνῳ. Οἵγε μὴν τοιοῦτοι θαυμάζοιντ᾽ ἂν μᾶλλον τοῖς σοφοῖς, ἢ διαβάλλοιντο ἐπόπται γεγονότες τῶν κατὰ φύσιν γινομένων πραγμάτων. Ἀλλ᾽ ὁ μὲν περὶ τούτων λόγος ἄλλοις ἂν μᾶλλον ἁρμόσειεν, ὅσοις δὴ τὸ μανθάνειν ταῦτα ἐπιμελὲς ἔργον καθέστηκεν. Ἡμῖν δ᾽ ἰατρικὴν μὲν τέχνην μετιοῦσι, τὰς δ᾽ ἐξ αὐτῆς προγνώσεις περὶ τὰ ἀνθρώπινα σπουδάζουσι σώματα, τοῦτο μᾶλλον ἀναγκαῖον ἔργον καθέστηκεν. Ὁπόσα τοίνυν προειδέναι θέμις εἰς τὴν τῆς προγνώσεως ἀντιλαμβάνεσθαι τέχνην, ὅλαι βίβλοι διδάσκουσιν προπαιδευθεῖσαι τοῖς περὶ τὰ τοιαῦτα σπουδάζουσιν. Δεῖ γέ τοι δεῖ τὸν προγνώσεως σπουδάζοντα, τούς τε στοιχειώδεις χυμοὺς εἰδέναι, καὶ τὰ φυσικὰ ταῦτα πνεύματα, κράσεις τε καὶ ἀλλοιώσεις καὶ μεταβολὰς ἑκάστου, ποιότητάς τε καὶ ἰδιότητας, συμπαθείας τε καὶ ἀντιπαθείας, καὶ ἄλλ᾽ ὅσα ἐξευρίσκεται τε καὶ λέγεται τοῖς μαθοῦσιν ἐξελέγχειν φυσικὰς κινήσεις τοῦ σώματος. Τούτων γάρ τοι προεγνωσμένων ταῦτα, ῥᾴδιον μὲν τῷ διαγνῶναι, πρόχειρον δὲ τῷ προγινώσκειν καθέστηκεν τοῖς φυσικοῖς ἀκολουθοῦντι τῶν χυμῶν κινήμασιν.

Κεφ. α.

Ὅτι μετὰ τοὺς σφυγμοὺς τὰ οὖρα συντείνει εἰς τὴν διάγνωσιν.

Πολλῶν ἐξευρημένων μεθόδων τοῖς ἐπὶ σοφίᾳ διενεγκοῦσι τῶν παλαιῶν, εἴς τε πρόγνωσιν καὶ διάγνωσιν τῶν ἐν τοῖς σώμασι γινομένων μεταβολῶν, τούτων τὸ πρῶτον ἔχειν ἔδοξεν ἡ περὶ σφυγμῶν πραγματεία. Ἐντεῦθεν γὰρ τοῖς μαθοῦσιν ἀκριβῶς τὰ πλείω τῶν προγνώσεων ἐπιγίνεται. Ταῖς γὰρ μεταβολαῖς τοῦ σώματος πρῶτον τοῦ πνεύματος ἠλλοιωμένου τε καὶ κινουμένου ἀρτηρίαι δ' ἄρ' ἐν πνεύματος ἀγγεῖον μᾶλλον ἢ αἵματος πεφύκασιν, εἰκότως καὶ αἱ ἀπὸ σφυγμῶν προγνώσεις ἀδιάπτωτοι γένοιντ' ἄν. Ἐπεὶ δὲ δεύτερα μετὰ τὸ πνεῦμα οἱ χυμοὶ ἀλλοιοῦνται, τὴν αἴσθησιν τοῖς οὔροις δίδωσιν ἀναμφισβήτητον τὴν ἐν αὐτοῖς ἀλλοίωσιν τούτου ὑποσημαίνοντα. Τῶν γὰρ χυμῶν τὸ οὖρον περίθημα πέφυκεν· ἀποχώρημα γὰρ εἶναι, καὶ τῆς προγνώσεως ἀποδίδωσι τῷ λόγῳ μᾶλλον τοῖς οἷαις δή τισι μεταβολαῖς τῶν χυμῶν μεταβαλλομένων τῶν οὔρων. Ἐπειδὴ ὥσπερ καὶ πρώην εἴρηται κοινωνεῖ ἡ πρόγνωσις τῶν διαγνώσεως, εἰ δέ τινος τῶν ἐκεῖσε ῥηθέντων οὐδὲ προσαπομνησθῶμεν ἐνταῦθα τὴν πραγματείαν ποιήσομεν, μηδεὶς ἡμᾶς αἰτιάσθω παλιλλογήσαντας εἴπερ τοῦτο συμβαίη, τὸ ἀσφαλὲς προκρίνων τοῦ περιττοῦ. Ἡ μὲν γὰρ ταυτολογία τὸ ἐντελὲς τε δοίη ἂν καὶ ἀδιάπτωτον οἶμαι· τῇ δὲ φυγῇ τῆς κοινωνίας τῶν λόγων, πολλὰ ἂν οἶμαι ὧν ῥηθῆναι χρεὼν προαπολεῖται τῷ λόγῳ. Ἀλλὰ τοῦτο μὲν οὐχὶ βραχύ τι ἂν ἐμπόδισμα προσείη τῷ λόγῳ· ἐκεῖνο δὲ [illegible] ἀπεικότως μᾶλλον [illegible] καὶ συμφωνίας ἔργον πέφυκε, [illegible] τὴν διά[illegible] [illegible] ἐπιθῶσιν πρόχειρον. Ἡμεῖς δ' ὥσπερ καὶ τοῖς ἄλλοις πεποιήκαμεν προαντιθέμενοι [illegible] καὶ συζητήσεις, εἶθ' οὕτως [illegible] ἀπ' αὐτοῦ τε [illegible]: οὕτω δὴ καὶ ποιοῦμεν καὶ τὴν ἐπὶ τοῦ κεφαλαίου τάξιν, ὡς ἀμείνω τῆς ἀταξίας προκρίνοντες. Προσαπομνησθήσεται δὲ τῶν ῥηθησομένων ἕκαστον, καὶ ἡ ἀνωμαλία, οὐχ ἧττον δι' αὐτῆς, ἢ δι' ἐκείνων συναγομένης τῆς προγνώσεως. Οὕτω δὲ καὶ ποιήσομεν ἐντεῦθεν ποθὲν σὺν θεῷ τοῦ λόγου ἀρξάμενοι.

Κεφ. ιβ.

Περὶ τῆς ἐκ τῶν λευκῶν οὔρων προγνώσεως.

Ἐπεὶ τοίνυν διείληπται τὰ λευκὰ τῶν οὔρων εἰς πλείω διαφέροντα ἤδη, καθὼς κἀν τοῖς περὶ διαγνώσεως οὔρων εἴρηται, χρεὼν ἂν εἴη περὶ αὐτῶν συνεπτυγμένως ἐπιδιελεῖν ταῦτα τῷ λόγῳ καὶ τὰς ἐπ' αὐτοῖς ὡς οἷόν τε προγνώσεις ἐπιθεῖναι. Τῶν οὖν λευκῶν μὲν τῷ χρώματι, κρυσταλλο=ειδῶν δὲ καὶ ὑδατωδῶν τῷ εἴδει, ἀεὶ μὲν λεπτῶν τελέθοντων, ἐκεῖνα δὲ δηλούντων· ἃ κἀν τοῖς περὶ διαγνώσεως εἴρηται. Καὶ ταῦθ' ὧδε προσαποθῆναι δεῖ τῷ λόγῳ· πυῤῥῶν οὖν καὶ ἐρυθρῶν καὶ οἰνωπῶν, καὶ εἴ τινι μακροτέρων χρώματι ἡγησαμένων οὔρων ἐπὶ πυρετῷ καύσῳ εἰ ἐπὶ τὰ τοιαῦτα τῶν λευκῶν χρωμάτων μεταβληθείη τὰ οὖρα, ἔτι τῆς τοῦ πυρετοῦ μενούσης σφοδρότητος, καὶ μή πω τινὸς ἀξιολόγου κρίσεως σημείου γεγονότος, ἀκριβῶς ἂν γνοίης ἐσομένην φρενῖτιν, καὶ τοσούτῳ χεῖρον, ὅσῳ καὶ τὰ ὑποδεδειγμένα χρώματα χείρω καθέστηκεν. Διαφέρουσι δ' οὐδ' ὅλως πάλιν ἐπιχρωσθέντων τῶν οὔρων εἰ τὴν φρενῖτιν λελυμένη φαίνηται. Ἐκεῖνα μὲν γὰρ τὴν τὸν ἐῤῥὸν χωννῦσαν μετεωρισθῆναι δηλοῦσιν ἐπὶ κεφαλὴν χολὴν ἤδη καὶ χρωννῦσα προσθήκην ἂν προσενέγκοι τῷ πάθει θάνατον. Τὰ μέντοι προσεπιχρωσθέντα τῶν οὔρων αὖθις, καὶ τὸ δεινὸν λελύσθαι τοῦ παροξύναντος τὴν πρώτην αἴσθησιν φέρουσι, ἀντιστραφείσης αὖθις τῆς χολῆς πρὸς τὰ κάτω. Τῶν γε μὲν μετὰ παχείας συστάσεως ἡγησαμένων τοιούτων οὔρων μετὰ θρομβωδῶν τῶν ὑποστάσεων, ἐν ἀδυνατωτέροις πυρετοῖς πλῆθος δὲ καὶ τὸ λευκὸν διαλλαξάντων χρωμάτων τὴν τοῦ νοσήματος ἀκμήν, ἴσον οὔπω λελύσθαι προγινώσκεται ὁ πυρετός. Τῆς γάρ τοι φύσεως κρατησάσης μὲν τῆς ὕλης, πεψάσης δὲ καὶ προσλαβούσης, ὅσον ἂν χρειῶδες δόξαιε τὸ περιττόν τε καὶ ἀχρεῖον οὕτω δι' οὔρων ἀπωθεῖται· μὴ χρεὼν ἂν ἀπέχεσθαι νομισθέν. Ἐπεί γε μὴν τοῦ διαβήτου μήτε χρωννύμενον, μήτε συνιστάμενον καὶ μαλαχθέν, οὐκ εἰς καλὸν ποθῆναι τὴν εἰς ἀκμὴν φάσιν ἀχροίας. Τῆς γάρ τοι φύσεως προαποκαμούσης ἤδη οὐκ ὀλίγον, μὴ καὶ τὴν ζωὴν τοῦ κάμνοντος ζημιωθείη. Ὅτι δεῖ δὲ λανθάνειν ὡς τὰ τοιαῦτα χρώματα τῶν οὔρων γέρουσι μὲν μετριάττα τὰ κακὰ σημαίνει· νέοις καὶ ἀκμάζουσιν ἐπιφαινόμενα, πονηρότερα, καὶ μᾶλλον εἰ μὴ δὲ παροξύσματα τῆς φαίνεται,

καὶ

271

καὶ φαινόμενα φαῦλα καὶ οὐ προσήκοντα. Ἐπὶ γὰρ ἐσχάταις τε ἀπεψίαις, καὶ ψύξεσι καὶ μα=
κραῖς ἔτι ἀρρωστίαις γίνεται, καὶ πρὸ τέλους ἐν παθείαις [illegible]. Καὶ [illegible] μὲν αἰσ-
τὸ σύμμετρον αὐτὸ βραχύτι ἂν τὰ σώματα [illegible], καὶ τὰ φθάσαντα λυμανθῆναι ῥαδίως ἂν ἡ
δύναμις [illegible] ἤδη τὴν αὐτῆς [illegible]. Ἐπὶ τοῖς αὐτοῖς δὲ [illegible] μένοντα δυ=
σύριας μὲν καὶ σκοτοδίνας, ἰλίγγους τε καὶ ἐπιληψίας ἀποσιτίας τε καὶ ἀποστροφὰς, καὶ φαύλων
[illegible] βρωμάτων, καὶ [illegible] τε [illegible] παρέχουσι καὶ δυσκινησίαι νεύρων,
ναρκώτιδάς τε καὶ παραλύσεις διάφορα πάθη [illegible] αἰσθήσεις, καὶ μαρασμώδεις ἐκ νόσου
γῆρας. Τοιαῦτ' ἂν προγνοίης τὰς διαφορὰς μεμαθηκὼς τῶν ἐκ τῆς περὶ διαγνώσεως ζηθέντων οὔρων
λευκῶν, προαναγνωκὼς δὲ καὶ τὸ περὶ τῶν συμπτωμάτων συγγραφὲν τῷ Γαληνῷ βιβλίον. Τὰ μὲν γὰρ
[illegible] ἀπεψίας μάλιστα [illegible]. Τὰ δ' αὖ ψύξεσιν [illegible] ἐπιγεγενημένας αἰτίας,
[illegible]. Σκοπεῖν δὲ δεῖ πρὸς τούτοις τὴν [illegible] τὰς ψύξεις
[illegible] τε καὶ κράσεις, ἔτη τε καὶ γένη καὶ ὥρας, καὶ τὰς προσγεγενημέ=
νας [illegible]. [illegible] ἐπιμετρήσαντα καὶ τῇ [illegible] τὸ κατὰ φύσιν τῷ ἀνθρώπῳ προσ=
[illegible] οὔρον, καὶ τούτῳ τὸ φαινόμενον παραβάλλοντι, [illegible] ἡ διαφορὰ ὁπόσα ἂν δι=
φθαίη, πρόχειρος δ' ἐπὶ τῷ φανέντι πρόγνωσις ἀποδοθείη, [illegible] δηλονότι καὶ τὰς ἐπὶ
τῷ [illegible] καὶ [illegible] τῶν καιρῶν. Τὰ μάλιστα γὰρ καὶ αὗται [illegible] πως εἰώθε=
σαν ταῖς [illegible] καὶ πάντων ἐπὶ ταῖς [illegible] ὡσαύτως διατίθουσι. Ἐπὶ μὲν οὖν τῶν οὕτως
[illegible] λευκῶν, τοιαύτας ἄν τις ἀποδοίη τὰς προγνώσεις εὖ κρίνειν μεμαθηκώς. Ἐπὶ δὲ
τῶν ὑφαιμένως λευκῶν γαλακτοειδῶν δηλονότι καὶ γλαυκῶν καὶ [illegible], καὶ τῶν [illegible], τοιαύ=
τας [illegible] τὰς [illegible]. Ἐν μὲν ταῖς ἀρχαῖς τε καὶ ἐπιδόσεσι τῶν πυρετῶν πονηρὰ,
καὶ [illegible] καὶ μᾶλλον ὅσον οἱ πυρετοὶ [illegible]. Πλῆθος γὰρ ἐνταῦθα τῆς [illegible]
σης ὕλης φαίνεται, Παρακμαζόντων δὲ τῶν πυρετῶν, σωτηρία, καὶ μᾶλλον εἰ τῷ πλήθει ὑπερβάλλει.
Ἐκεῖνο μὲν γὰρ [illegible] πλῆθος [illegible] τῆς τοιαύτης [illegible] δῆλοι, ἢ τοῦ κρατοῦν=
τος χυμοῦ ἐπὶ ἄλλα μέλη τοῦ σώματος ῥοπὴν, τὰ δ' ὕστατα παρακμὴν τοῦ πυρετοῦ, πυρροτέ=
ρων οὔρων δηλονότι [illegible]. Ἀπό[illegible] δὲ τῶν [illegible] τῇ ἀποκρι=
τικῇ δυνάμει. Ταῦτα ῥάδια μὲν τὰ πρῶτα καὶ ἐν ἀρχῇ φαινόμενα κακοήθειαν μὲν ἂν προγνοίης

τοῦ

τῷ νοσηματος. χρόνου δ᾽ ἂν τάξιν πλείονος δεῖσθαι τὴν τοιαύτην φαίης ὠμότητα. Ἐπεὶ δὲ μήπω διάδηλον ἐν τοῖς τοιούτοις οὔροις τὸ μέγεθος τοῦ πυρετοῦ καθίσταται. ἢ γὰρ ἂν οὐδὲ κακοήθης ἂν ἀνόμισο ἀπὸ σφυγμῶν ἀναλαμβάνειν τότε μέγεθος ἐπισκοπεῖν προσήκει τῶν πυρετῶν, καὶ τὸν τῆς δυνάμεως τόνον. Συμμαρτυρήσαιεν ἂν καὶ διαχωρήματα, καὶ χροιαὶ προσώπου, καὶ ὅσα συμπτώματα ……… καὶ φαίνεται. Ἐπεὶ ἂν οὖν ἄλλοθεν τὸ μέγεθος ἀναμάθῃς τοῦ πυρετοῦ, γνοίης ἂν καὶ τὸν τῆς φυσικῆς δυνάμεως τόνον, ἐπισκεψάμενος δὲ καὶ τὸ μέτρον τῆς ἀπεψίας, ἐνταῦθα δεῖ καὶ σαυτῷ φανῆναι στοχαστικώτερον, ὡς ἀνάγκῃ στοχαστικῶς μὲν καὶ ἠκριβωμένως δ᾽ ἀποφῆναι τὰ μέλλοντα. κἂν μὲν οὖν πλείω μὲν τὰ τῆς ἀπεψίας πέφυκε σύμβολα ἐπὶ συχναῖς δ᾽ ἡμέραις παραμένῃ ταῦτα, πολὺ δὲ τὸ τοῦ πυρετοῦ μέγεθος. Ὁ δὲ τῆς τόνος μείων τε καὶ ἀσθενὴς καταλαμβάνεται, ἀπαγορεύσει μὲν ἐνταῦθα εἰκὸς τὴν φύσιν, δεῖ τῶν κακῶν τὸν θάνατον ἐπιγενήσεσθαι προγνοίης. καθ᾽ ἃς ἂν μᾶλλον τῶν ἡμερῶν στοχάσαιο τὴν δύναμιν ἀπαγορεύσειν παντάπασι. Ἂν δ᾽ ἀμείνω μὲν ἔχῃ ὥσπερ δῆτα καὶ λέλεκται. ἡ δὲ δὴ ῥώμη κρατύνηται ἐλπὶς μὲν διὰ χρόνου περιγενήσεσθαι τῶν ἀνιαρῶν τὸν κάμνοντα ἀσφαλοῦς τετυχηκότα διαίτης. Πολλὰ δ᾽ ἂν μεταξὺ συμβαίη φαῦλα συμπτώματα. Εἰ δὲ ταῦτα μὲν μείω, ἡ δὲ τοῦ σώματος ῥώμη φυσικὴ ἀμείνων περιγενήσεται μὲν οὗτος ὁ ἄνθρωπος, μείους δὲ προσέτι τῶν συμπτωμάτων τὰ φαῦλα. Ἐπεὶ οὖν πυρέττουσιν ἀνθρώποις καὶ τὰ τοιαῦτα οὖρα προϊεμένοις, δεῖται μὲν μακροῦ τῶν κατὰ τὴν ἀναλογίαν τῶν πυρετῶν προσδεομένων χρόνου. Πλείω δ᾽ ἴσως τὰ οὖρα καὶ τὰ κάτω γαστέρα ξηρότερα, καὶ κεφαλῆς βάρη καὶ ἀλγηδόνες ἁλώσονται, ἴλιγγοί τε, καὶ κατὰ γαστέρα στρόφοι. Ἐνίοτε δὲ καὶ ὑδατόχολα τότε ἡ γαστὴρ διαχωρεῖ. Ἐν δὲ τῷ χρόνῳ τῶν μεταβολῶν τῶν οὔρων τὴν λύσιν ἀποσκοπήσαις ἂν τοῦ πυρετοῦ, ὥσπερ δῆτα καὶ ἐκ τῶν πέψεων τὰς τῶν κρίσεων ποιότητας. Ἀλλ᾽ ἡ μὲν ἐπὶ τοῖς ὑγραμένοις λευκοῖς οὔροις πρόγνωσις ἐπὶ τοῖς τοῖς πυρέττουσιν ἀνθρώποις, τοιαῦτα τις ἂν ἀποδοίη. Τοῖς γε μὴν ὑγιαίνουσι τοιαῦτά ποτε φαινόμενα, μετρίαν μὲν τὴν ἐπὶ ψυχῇ βλάβην δηλοῖ. Πολλάκις δὲ κἂν ταῦτα χροῶν, ἃ ἂν τῶν παθῶν τε καὶ τῶν συμπτωμάτων διὰ μετριωτέρας ψύξεις ἐπάγεσθαι εἴωθεν.

αἰτίαις. Πρὸς τούτοις δὲ κἀκεῖνο προειδέναι θέμις, ὡς ὅσα δῆτα τῷ λόγῳ τῶν συμπτωμάτων ἡμεῖς προστίθεμεν, οὐθ' ὡς κατ' ἀνάγκην ἑπόμενα λέγομεν, οὔτε μὲν σπανίως φαίνεσθαι, ὥσπερ οὐθ' ὅλα, οὔτε τὰ πλείω ἢ ἐλάττω, ἀλλ' ὡς ἐνδεχόμενα ἀεὶ συναναφαίνεσθαι τούτοις ἀρρωστημάτων εἴδεσιν, ἢ πάντα ἢ τὰ πλείω, ἢ ἐλάττω κατά τε τὸ τῶν παθῶν μέγεθος, καὶ τὴν εὐπαθείαν τε, καὶ ἀναισθησίαν τοῦ ἀνθρώπου. Δεῖ δὲ πάντως ὧδε καὶ ἀγχινοίας τε, καὶ πείρας, καὶ μαθήσεως τὸν τὰ τοιαῦτα σκοπήσαντα.

Κεφ. γ.

Περὶ τῆς ἐκ τῶν ὑπωχρῶν καὶ ὠχρῶν οὔρων προγνώσεως.

Ὕπωχρα μὲν καὶ ὠχρὰ ἐπὶ πυρετοῖς μὲν οὐκ ἂν ὀφθεῖεν. Κἂν τύχοιεν ἐπὶ τούτῳ ὄντες πυρετοί, ἀβληχροί τε πάνυ καὶ ἄλυτοι τῶν ἀφημερινῶν τινες τυγχάνουσι. Πυρροτέρων μέντοι προηγησαμένων, ταῦτ' ἐπιφανέντα τὸν μὲν πυρετὸν ἀπεληλύθεναι δηλοῖ, ἐπὶ τὸ ψυχρότερον δ' ἤδη μετακεχωρηκέναι τὴν ἕξιν, ἀλλ' αὕτη μὲν βραχείας τινὸς ῥοπῆς τῆς ἀπὸ προσηκούσης διαίτης, ἐπιρρώννυταί τε, καὶ διορθοῦται, καὶ τὰ σύμμετρα ἐνταῦθεν ἕπεται τῶν οὔρων φαινόμενα: περὶ ὧν νῦν ἂν εἴη προσῆκον φάναι.

Κεφ. δ.

Περὶ τῆς ἐκ τῶν ὑποπύρρων καὶ ὑποξάνθων οὔρων προγνώσεως.

Τὰ τοίνυν ὑπόπυρρά τε καὶ ὑπόξανθα τῶν οὔρων οὐκ οἶδα εἴ τι ἂν πλέον ὑγιείας διασημαίνουσιν ἐν νέοις τε καὶ ἀκμάζουσι σώμασιν. Ἐπὶ γὰρ τῶν διὰ ψυχράν τινα δυσκρασίαν φυσικῶς αὐτοῖς συμβᾶσαν γερόντων τε καὶ γυναικῶν, καὶ τῶν ὅσοις πρὸς τὸ λευκότερον τὰ οὖρα φαίνεται ῥέποντα, καθ' οἷον δήτινα λόγον καθὼς ἐν ἄλλοις περὶ τούτων ἀρκούντως ἔφημεν, ταῦτα ἐπιφαινόμενα, ἐπὶ τὸ θερμότερον τὴν ἕξιν ἐκτετράφθαι δηλοῖ, εἴτε διὰ συνεχεῖς τινας θερμοφαγίας, ἢ διὰ γυμνάσια τὸ σύμμετρον ὑπερβάλλοντα: θερμανθέντος γάρ

λινος ἐμποιηθεῖσαι δίαιται ἐπὶ τούτοις τὰ τοιαῦτα οὖρα προυξένησαν. Ἀλλὰ ταῦτα μὲν πάνυ μέτρια ὄντα, καὶ μετρίας ἂν τὰς βλάβας ἐπαγάγῃ, ῥᾳδίως τ' ἂν διορθοῖτο.

Κεφ. ε.

Περὶ τῆς ἐκ τῶν πυρρῶν καὶ ξανθῶν οὔρων προγνώσεως.

Τὰ γὰρ μὲν πυρρά τε ἤδη καὶ ξανθά, ἐπὶ μείζοσι μὲν προφάσεσιν ἐπιφαίνεται τούτοις, ἐπὶ μείοσιν δὲ τοῖς ἀκμάζουσιν. Ὥστε τοῖς πόρρω τῶν κατὰ φύσιν τε καὶ μέσον ἔχουσι ταῦτα, μείζους μὲν τὰς προηγησαμένας αἰτίας δηλοῦσιν· ἤδη δὲ καὶ πυρετῷ τέλεον καὶ λάχεσι τῆς χολῆς ξανθῆς διαχυθείσης τῷ σώματι. Ὅσα μὲν οὖν ἐκ τῆς κράσεως εἴη προχεόμενα αἴτια θερμότητος, φαίης ἂν ὡς προξενήσαντα τὴν χολῆς αὔξησιν, καὶ μάλιστα εἰ προσειδῶς εἴη τήν τε δίαιταν καὶ τὴν καθόλου διαγωγήν. Ἔπειτ' ἂν αἰτ. οὕτως τῷ λόγῳ, καὶ τὰ χολῆς ἐν σώματι διασπαρείσης συμπτώματα. Οἵτε γὰρ οἱ πυρετώδεις ἐπὶ τούτῳ συνήθως αἰσθάνονται, καὶ αἱ τῆς κεφαλῆς ἀλγηδόνες, πικρότητές τε τοῦ στόματος, καὶ τῶν σιτίων ἀποστροφαὶ καὶ δίψαι ἱκαναί. Τοὺς γε μὴν ἀκμάζοντας καὶ θερμοτέρᾳ τῇ κράσει τοιαῦτα οὖρα προβαλλομένους, φαίης ἂν εἰκότως καὶ αὐτοὺς ἐπί τε παραπλησίαις διαίταις, καὶ γυμνασίοις πλείοσιν, εἰς τοῦτο ἐναχθῆναι τῆς καταστάσεως· μείους δὲ τῶν προειρημένων τὰς ταῦτα προξενησάσας προφάσεις, ἀσθενέστερα δὲ καὶ τὰ συμπτώματα, φαίης ἄν· καὶ πλείονος μὲν ἀνάγκης εἰς ἀπόλυσιν τοῦ πάθους ἐπιδεήσεσθαι τοῦ χρόνου· μείονος δ' εἰ τοὺς ὅσοι κατὰ φύσιν ἐν τοῖς οὔροις παρακείμενα ταῦτ' ἔχουσι τὰ χρώματα. Ἐνταυθοῖ δὲ καὶ περὶ ὑπερύθρων τε καὶ ἐρυθρῶν προσήκει φάναι χρωμάτων.

Κεφ. ϛ.

Περὶ τῆς ἐκ τῶν ὑπερύθρων καὶ ἐρυθρῶν οὔρων συναγομένης προγνώσεως.

Καὶ νέοις μὲν ἀκμάζουσιν ἀνθρώποις ἐπιφαινόμενα τῇ τοῦ χρωννύντος οἰκειότητι χυμοῦ, οὐκ ἄγαν ἐπιταθεῖναι δηλοῖ τὴν βλάβην. Γέρουσι δὲ καὶ πάλαι τὸ φυσικὸν ἀποβεβληκόσι

θερμὸν,

θαρμόν, χείριστα μὲν φαινόμενα, πάνυ δ' ὡς τὴν κατὰ φύσιν ἀποκατάστασιν, πλείστου χρόνου δεό-
μενα. ὅπη γε καὶ οὐκ ὀλίγον δέος μὴ προκαταπονηθείσης τῆς ζωτικῆς δυνάμεως, οὕτως τοῦ πά-
θους ὁ θάνατος ἐπιγένηται. Ἐν μὲν γὰρ τοῖς νέοις τε καὶ ἀκμάζουσιν ταῦτα δὴ τὰ χρώματα
φαινόμενα ὑπαγορεύει μὲν τὸν αἱματικὸν ηὐξῆσθαι χυμόν, καθὼς κἂν τοῖς περὶ διαγνώσεως οὔ-
ρων ἔφθημεν εἰρηκότες. Σὺ δ' ἂν πρόρρησιν ἀσφαλῆ τῷ λόγῳ ἐπιθείης, ὡς ἤτοι διαίταις τοῖς
τὸν τοιοῦτον χυμὸν ἀπογεννῶσι ὁ κάμνων ἐχρήσατο, ἢ συνήθους αἵματος ἐκκρίσεως ἐπίσχεσις
γέγονεν, ἤτοι φύσει ἢ τέχνῃ κεκινημένου. Γέρουσι δὲ σπανίως ἂν ταῦτα συμβαίη, ὅσοις δηλον-
ότι αἱ φυσικαὶ δυνάμεις ἔτι ἀσθενεῖς, καὶ τὰ γυμνάσια καὶ αἱ δίαιται εἰσὶ προσήκοντα. Χρόνου γε
μὲν τέλους δεήσει πλείονος εἰς ἐργασίαν. Τό γε μὴν ἐκεῖ πλεῖστον αὐτοῖς συμβαῖνον, ἤτοι θάνατον,
ἢ μακρονοσίαν καθέστηκεν. Ἐπὶ γὰρ ἀρρωστίᾳ μάλιστα τῆς καθαρτικῆς τε καὶ διακριτικῆς δυ-
νάμεως γίνονται μὴ κατισχυούσης τὸν οἰκεῖον ἔχειν χυμόν, ἀλλ' ἤδη μαραινομένης, ὡς αὐ-
τὸν ἀποτίναι. Τὰ γὰρ διὰ αὔξησιν ~~τοῦ τοιούτου χυμοῦ πάνυ βραχέα τε καὶ ἀσαφῆ τοῖς~~
γέρουσι πέφυκε, κἂν δὲ διὰ πυρετοῦ μέγεθος ταῦτα τοῖς γέρουσι φαίνηται, ἢ πλεῖον ὅσον
καταλαμβάνεται τὸ τοῦ πυρετοῦ μέγεθος. Διὰ μὲν γὰρ τὴν ἀπὸ τοῦ κατὰ φύσιν χρώματος ἀπό-
στασιν, τὸ μέγεθος τοῦ πυρετοῦ καταλαμβάνεται. διὰ δὲ τὸ τῆς ἡλικίας ἀνοίκειον ἡ πονηρία
τοῦ πυρετοῦ: διὰ δὲ τὴν τῆς φυσικῆς ~~δυνάμεως~~ ἀτονίαν ὁ κίνδυνος ὑποπτεύεται. Ἐπεὶ δὲ
καὶ δι' ἐρυθρᾶς χολῆς αὔξησιν τοιαῦτ' ἐνίοτε ἀποδίδοται οὖρα, εἰκότως ἂν στοχάσαιο διὰ τῶν
τὴν χολὴν γεννώντων ταῦτα ηὐξῆσθαι. ἥκιστα ἀκμάζουσιν ἐπιφαίνεται μάλιστα. χείρω δὲ
κακοῦ συμπτώματα τῶν ἐξ αὐξήσεως αἵματος, ὅσω καὶ δριμύτερος καὶ κουφότερος ὁ χυμὸς
οὗτος πέφυκε: ~~μελαγχολικῶν δὲ τῶν~~ ξανθῶν τε καὶ προσχόλων πέφυκε. Ἐκεῖ μὲν γὰρ αἵ τε
δίψαι πάνυ μέτριαι, καὶ οἱ ὕπνοι οὐ πάνυ θορυβώδεις. τἀναντία δ' αὖ ὧδε, ὅσω καὶ ὡς ξη-
ρότητα, μετὰ δριμύτητα ὁ χολώδης αἱματικοῦ πεπλεονέκτηκε χυμοῦ. Καὶ ταῖς μὲν πέ-
ψεσί τε καὶ ἀπεψίαις ~~αἱ οἷαι δή τινες~~ ἐπικρίνονται κρίσεις. τῇ δὲ βραδυτῆτι τε καὶ ταχυτῆτι
τῶν κινήσεων τε καὶ μεταβολῶν ὁ χρόνος τῆς παρατάσεως ἐξευρίσκεται. Ταῖς μὲν γὰρ ὀξείαις
τοῦ νοσήματος κινήσεσιν μετὰ ῥώμης τῆς ἐμφύτου δυνάμεως, ῥᾴδιαι μὲν αἱ ἐπὶ τὸ κρεῖττον

μεταβολαί,

μεταβολαί, ταχεῖαι δ' ἕπονται τῶν νοσημάτων αἱ λύσεις· ταῖς δὲ δὴ νωθραῖς κινήσεσι τοῦ νοσήματος, καὶ ὁ χρόνος ἐπὶ πλεῖον ἀπαιτεῖται. Δεῖ γε μὴν ἐν πᾶσι ῥώμης δυνάμεως, ἵνα μὴ προαπομαρανθείσης ταύτης, ἐπὶ τὸ χεῖρον προβαίνῃ τὰ τοῦ νοσήματος. Κἂν μὲν οὖν μετὰ τὴν κατὰ πλάτος ἀρχὴν καὶ ἐπίδοσιν αὖθις ἐπὶ τὰ φαῦλα καὶ χολωδέστερα τὰ χρώματα προχωροίη· εὐλαβεῖσθαι δεῖ καὶ δεδιέναι, μήπως πάμπαν τὸ φυσικὸν καταπνιγείη θερμὸν ὑπὸ τῆς νόθου ταύτης καὶ διαφθορέως θερμότητος. Ἂν δ' αὖ τοὐναντίον, τά τε χρώματα πρὸς τὸ κατὰ φύσιν ἐπιστρέφεται χωροῦντα καὶ αἱ πέψεις ἤδη διαφαίνονται τοῖς οὔροις ἀποδέχεσθαι θέμις, καὶ θαρρύνειν τοὺς κάμνοντας.

Κεφ. ζ.

Περὶ τῆς ἐκ τῶν οἰνωπῶν οὔρων προγνώσεως.

Τὰ δ' οἰνωπὰ τῶν χρωμάτων χείρω μὲν ὡς εἴρηται τῶν ὑπερύθρων τε καὶ ἐρυθρῶν, ὑπερχολωθέντος αἵματος εἴωθε ταῦτα μᾶλλον συνίστασθαι. Ὁπόταν γάρ τοι τὸ αἷμα εἰς χολὴν μετρίως ἰδίαν ὑφ' οἱασδήτινος αἰτίας, τὰ τοιαῦτα τῶν χρωμάτων ἀποδίδοται. Ὥστ' οὐ θαῦμα εἰ χολῆς οὕτω κατακρατούσης δίψαι μὲν οὐ μετρίαι ἐπιγίνονται, ὕπνοι δὲ θορυβώδεις, καὶ ξηρότης στόματος, καὶ πυρετῶν ὀξύτητες, λῆροί τε καὶ βῆχες ἤδη συναλγοῦντος τοῦ ἥπατος. Ἀλλὰ καὶ ταῦτα ταῖς μεταβολαῖς τῶν χρωμάτων κρίνεται, εἴτε φαῦλα τελείη ἢ καὶ σωτηρία. Ταῖς δὲ δὴ κατὰ μέρος πέψεσι τὴν ταχύτητα αἱ κρίνομεν τῆς ἀπολύσεως. Ἀλλὰ περὶ μὲν τούτων, καὶ ἄλλοτέ ποτε ἔξεστι φάναι καθαρώτερον. Νῦν δὲ φῶμεν καὶ περὶ τῶν κυανῶν οὕτω κεκλημένων χρωμάτων.

Κεφ. η.

Περὶ τῆς ἐκ τῶν κυανῶν οὔρων προγνώσεως.

Ταῦτα δὲ μετὰ πλήθους τε καὶ πάχους καὶ διαφθορᾶς τῷ ἥπατι ἐπισυμβαινούσης φαίνεται

φαίνεται χολῆς, ἀφ' ἧς δὲ καὶ τοὺς ἰκτέρους ἴσμεν μᾶλλον γεγενημένους· ὡς οὐκ ἂν ἁμάρτοις τοιαῦ-
τα ὅσα ἀκρατοῦς φαμένους ἴκτερος ἐπιγενήσεται τῷ ἀνθρώπῳ. Ἀλλὰ μήπω μὴν ἐξαρθείσης τῆς ὕλης
[illegible] δηλοῦσι τῆς ἀκμαζούσης τὴν ἕξιν, βραχεῖς τινας καὶ ἀσαφεῖς οἱ πυρετοὶ ἐπιγίνονται,
καὶ δίψαι πάνυ μέτριαι, ἐξ οἷς οἱ πλείους ἐξαπατώμενοι συμπίπτουσιν. Καὶ διαλαθόντες ἀθρόως
ἐξάπτουσιν μὲν τὸ πολὺ τῆς ὕλης, σφοδροτάτους δ' ἤγειραν πυρετούς, θορύβους δὲ καὶ ἀγρυπνίας καὶ ἐ-
ξαισίους δίψας ἐπήγαγον. Καί ποτε αὐτὸς ἐπί τινος γνωρίμου τὰ παραπλήσια ἑωρακώς, νῦν δ' ἂν διηγη-
σαίμην κατὰ καιρόν. Ὥρα μὲν ἦν χειμῶνος, καὶ ὁ ῥηθεὶς ἡμέτερος γνώριμος τὰ μέγιστα ὑπό τινων
ἀδικούμενος, ἀθάμβητα μὲν προθύμως ἕωθεν ἀγειρόμενος περὶ τὰ βασίλεια, λύσιν ζητῶν τῶν ἀδι-
κημάτων, τὰς πλείους δ' αὐτίκα διεκαρτέρει [?] · καί ποτ' αὐτὸν ἠδύνατο [?] ἄτροφα βρώματα τῶν θρεπτικῶν
ἢ πολλάκις τὸ πλεῖον ἐτύγχανεν. Ἐπεὶ γὰρ δ' ἦν ἱκανὸν τὸ σῶμα τὰς τοιαύτας τῶν βρωμάτων προ-
σφορὰς διὰ τὴν τοῦ παρέχοντος ἐνδείαν [?] · αὐτὸς δ' ἐκεῖνον διακαρτερεῖν [?] μὲν πρὸς τὰς ἐνδείας ἀθρό-
ον δ' ἐφ' ἑαυτῷ ὡς τὰ μέγιστα ζημιωθῆναι δεδιότα ἢ γρυπνεῖν [?] · διὰ ταῦτα καὶ ἄλλως δὲ οἱ τὸ
στόμα αὐχμηρὸν ἐτύγχανε καὶ ἄγρυπνον. Εἰκὸς γὰρ μὲν καὶ πρώτως φαύλων αὐτὸν βρωμάτων χρή-
σασθαι προσφοραῖς, ὡς τοῖς ἀνάγκη· ἐτύγχανε γὰρ ὁ ἄνθρωπος μικρὸν [?] τι καὶ τὴν οὐσίαν μὴ ἀναλῶσαι
φειδόμενος. Ταῦτα δὲ πάντα τὸν χολώδη χυμὸν ἐκεῖνον συνήθροισαν, ἤδη δὲ καὶ τὰ οὖρα οὕτως
ἐξεκαίνουτο [?]. Ἐπεὶ δ' ἐκεῖνος τύχῃ τινὶ τὰ οὖρα ἑώρακε μὴ κατὰ φύσιν ὄντα τῷ χρώματι καὶ τινο-
βραχείας τῆς ἀνωμαλίας ᾔσθετο, ἀγνοῶν τὸ πρᾶγμα ἐξήγγειλε καὶ τὴν αἰτίαν μαθεῖν ἐπυνθάνετο.
Ἐγὼ δὲ τὸ μὲν τοιαῦτα οὖρα οἱ προΐδῃ οὐκ ᾤμην αἴφνης· αὐτὸν μὲν ὁρῶν ἔτι ὑγιῆ περιιόντα, ἐκεῖνα
δ' ἰδὼς ἐπὶ χαρίεσι νοσήμασι φαινόμενα, καὶ δὴ λέξας ἐπ' ἀκριβὲς τὴν ἀνάγκην δεῖξαι τὸ ὂν
ἤδη μὲν ἀπηλλάττομεν. Αὐτὸς δὲ καὶ ἐς αὔριον περὶ τὰ οἰκεῖα διατρίβων, διημερεύσας ἄσιτος, ἐπὶ
δὲ νυκτὸς μὲν ἦν, βραχέος δὲ τι σιτίου γευσάμενος ἔκειτο. Κρείττον μὲν ἡμῶν ἕωθεν ἀμυδρὰ κυανὰ
οὖρα ἔσχεν, καὶ οἷα τὰ τῶν ἰκτερικῶν, αὐτὸς δὲ ᾤετο τὴν ἀπύρετος διάγειν. Πρόρρησις εἰ δὲ
μὴ φυλάξαιτο ἰκτέρῳ περιπεσεῖν. Ὁ δὲ τὴν μὲν πρώτην φυλαξάμενος ἀτάραχος ἔμεινεν ἡσυχῇ τοῦ

παχύ

περι... κεκινημένα. Τὸν μετ᾽ αὐτὸν δὲ σκοπῶν ἑαυτὸν, μηδέν τι δεινὸν πάσχοντα. Οὔτε γὰρ ἐξαλλοιωμένα δῆτα οἱ οὖσα ἐτύγχανεν, οὔτ᾽ αἰσθητὸς πυρετὸς οὔτ᾽ ἄλλό τι τῶν ἐπὶ νόσου σαφέστερον σύμβολον, ἡμᾶς μὲν εἴασε ὡς μηδὲν εἰδέναι εἰδότας φάναι. Αὐτὸς δ᾽ ἐκέχρητο μὲν τροφῆς παχυτέρας, οἶνον δὲ ἀθανὴν ἀπέπινε, καὶ οὔπω νὺξ ἦν, καὶ ὁ χυμὸς ἐκεῖνος ἐκεκίνητο καὶ διατεθέρμαντο, καὶ ταραχή τις οὐκ ὀλίγη τὸν ἄνθρωπον κατεῖχε· καὶ ἡμᾶς τότε συνεῖς ὡς κρίνοντας, μετεκαλεῖτό τε, καὶ τὴν σωτηρίαν ἐπίστευσεν. Ἐγὼ δ᾽ ἐκεῖνον μὲν λόγῳ ὡς ἀδόκητον παιδεύσας μὴ ἀπιστεῖν ἰατροῖς προσέταξα. Συνεχῶς δὲ μὴ ἐπὶ πολὺ ἐξῆφθαι τὸν χολώδη τοῦτον χυμὸν, παραφυλάξασθαι μὲν ἔφην τὰ παχύτατα ἐδέσματα καὶ τὸν οἶνον· διαιτήσας δὲ λεπτοτέραν διαίτην; ἐγὼ μὲν αὐτὸν ἐπέδειξα συνηθέντα τῇ διαίτῃ. Ἡ χροιὰ δὲ οἱ καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἰκτέρῳ διεχρώσθη· καὶ τοῦ νοσήματος ἀπαλλαγέντα ὡς οἷόν τε, καὶ μὴ πάνυ λεπτὴν διαίτην κεχρημένον τὸν ἄνθρωπον. τὸν τοιοῦτον ἀκινδύνως ἀποποιηθῆναι χυμὸν χολώδη, εἰ μή τι τῶν προσφερομένων, ἢ ὁ παρέχοντος εἰς ἔξαψιν ἐρεθίζει τὸν ἄνθρωπον. Παχεῖα γὰρ οὖσα ἡ τοιαύτη χολὴ, σχολῇ μὲν ἐξάπτεται, ἀναφθεῖσα δὲ οὐχὶ ῥᾳδίως σβέννυται. Καὶ τούτων μὲν ἅλις. ἑξῆς δ᾽ ἰτέον τῷ λόγῳ καὶ περὶ τῶν ἐλαιωδῶν ῥητέον χρωμάτων.

Κεφ. θ.

Περὶ τῆς ἐκ τῶν χλωρῶν οὔρων προγνώσεως.

Τῶν τοίνυν χλωρῶν χρωμάτων, διαφόρων μὲν ὄντων, ἐν δυσὶν εἴδεσιν γένεσίν τε θεωρημένων, τῶν τε ἐλαιωδῶν δηλονότι καὶ τῶν ὁμωνύμως τῷ γένει καλουμένων χλωρῶν, καθὰ κἀν τοῖς περὶ διαφορᾶς οὔρων εἴρηται. Ὅσα μὲν εἰσὶν ἐλαιώδη διὰ σύντηξιν τῆς πιμελῆς γίνεται, ἐκτικὸν δὲ ὑπαγορεύει τὸν πυρετὸν τηλικοῦν καθὼς κἀν τοῖς περὶ διαγνώσεως οὔρων εἴρηται. Ὅσα δὲ διὰ τὴν κακοήθειαν τοῦ νοσήματος χλωρίζοντα μὲν, οὐ μικρῷ δ᾽ ὅμως φαυλότερα τῶν ἐλαιωδῶν τυγχάνει. Προσήκει τοίνυν ὧδε προσέχειν τῷ λόγῳ. Ἂν μὲν γὰρ αὖθις κατὰ βραχὺ πάλιν ὁρῶνται τὰ ῥηθέντα ἐλαιώδη χρώματα πρὸς τὸ κατὰ φύσιν ἰόντα, προλέγειν δέοι τελείαν χρεὼν τὴν τῶν παρισταμένων συμπτωμάτων ἀπόλυσιν. Ἂν δὲ τι τοῦ πυρετοῦ ἔτι τὴν ὑγείαν λυμαινομένου, χείρο-

καὶ τὰ

καὶ τὰ οὖρα φαίνοιτο προβαίνοντα, προσλήψειν μὲν προσήκει τὸν ἐπηρτημένον κίνδυνον, κατὰ ἀγλαβείας δὲ προσίεσθαι τῷ κάμνοντι κινδυνεύειν, ἵνα μὴ καὶ πρόφασιν κατηγορίας δοίης τοῖς ἐγκαλοῦσι προχείρως, ἀφυλάκτως τὴν νόσον ἐπεξερχόμενος. Ὁπόταν γὰρ τὰ δεινὰ προπέφανται καὶ τὰ παρυφιστάμενα χείρω φαίνηται καθὼς μετ᾽ οὐ πολὺ ῥηθήσεται, ἐν οἷς ἄν. φέρομεν περὶ προγνώσεως παρυφισταμένων, ἔτι μᾶλλον ἐπιθήσεις τῷ λόγῳ πρόρρησιν, διὰ πασῶν τῶν καψάων τὴν ἀκρίβειαν ξυνιεὶς τῆς φύσεως. Ἄγε μὲν ὁ λόγος ἤδη χλωρὰ χρώματα, οὐκ ἤδη εἰ ἐπὶ φαυλότητι ὑπερβάλλοι καὶ ἀμφοτέρων φιλοτιμουμένων ὁποῖον ἂν χαλεπώτερον ἀνέλῃ τὸν κάμνοντα. Ὁπόσα μὲν οὖν ἡ χολὴ τῆς ἄλλης ὑπερβάλλουσα χυμῶν ἐπικράτησιν δηλοῖ μὲν καὶ ἀπὸ τῶν χρωμάτων τῶν οὔρων. Εἰδείης δ᾽ ἂν καὶ προσέτι μαθὼν τὰ συμπτώματα. Παρακοπαὶ μὲν γὰρ συνεχεῖς καὶ διαλείπουσαι καταλαμβάνουσι τὸν κάμνοντα, ἔμετοί τε καὶ διαχωρήσεις, ἐνίοτε χολωδῶν ἀκράτων ἰωδῶν τε καὶ συγκεκαυμένων, δίψαι τε συνεχεῖς, καὶ πυσοι γλῶτταί τε τραχεῖαι καὶ ἐπηρμένα ἐνίοτε ὑποχόνδρια, ταῦτα καὶ τοιαῦτα τῶν χλωρῶν συμπτώματα πέφυκεν. Ἀλλ᾽ ἂν ἐρρωμένη μὲν ἡ δύναμις ᾖ, ὑποχαλᾶται δὲ καὶ μεταβάλλεται ἐπὶ τὰ προσηνῆ τὰ χρώματα, ἐλπὶς μὲν σώσασθαι τὸν ἄνθρωπον, καὶ θαρρεῖν δέον. Μηδενὸς δὲ τῶν ῥηθέντων ὄντων, εἰ ἐπιμείνῃ τὰ τοιαῦτα οὖρα, δέος οὐκ ὀλίγον, μήπω τῷ ἀπὸ ξηρότητός τε καὶ καύσεως ~~πυρετῷ~~ παρεμπεπτωκότι τῷ κάμνοντι ὕπνος τις ἀκαίρως αὐτὸν διαδέξηται. Καὶ δεῖ γοῦν οὕτω πως ταῖς καθ᾽ ἑκάστην μεταβολαῖς, πέψεσί τε καὶ ἀπεψίαις τὰς προρρήσεις ἐπάγειν, ἀκριβῶς στοχαζόμενος.

Κεφ. 1.

Περὶ τῆς ἐκ τῶν φαιῶν, καὶ πελιδνῶν καὶ μελάνων οὔρων προγνώσεως.

Φαιὰ ἐπὶ τούτοις καὶ πελιδνὰ καὶ μέλανα χρώματα τῷ μελαγχολικῷ μὲν ἐπὶ τὸ πλεῖστον χυμῷ χρωννύμενα. Οὐχ ἧττον δὲ καὶ δι᾽ ἑτέρας αἰτίας τοιαῦτα φαινόμενα, καθὼς κἂν τοῖς περὶ διαγνώσεως οὔρων λέλεκται. Νῦν δ᾽ ἐπιθῶμεν τῷ λόγῳ ὅσον μὲν εἰς πρόγνωσιν ἀσφαλῶς, λέλεκται δ᾽ ἂν τοῖς περὶ διαγνώσεως οὔρων λόγοις. Ὅσα τοίνυν ἐπιφαίνεται τοιαῦτα οὖρα ἤτοι λευκῶν

ἢ παραπλησίων

λ. 97

ἢ παρακειμένων ἄλλων προηγησαμένων χρωμάτων καὶ μάλιστα, ἤτοι μελαγχολίας προηγησαμένης ἢ [illegible] πυρετοῦ, καὶ τοῖς ἄλλοις σπληνὸς [illegible] καὶ δείκτ χυμοῦ [illegible] λύσιν ἀποκινήματα [illegible] [illegible] τῶν ἤδη [illegible] παθῶν, ὅσα δεῖ πεπεισμένως προλέγειν. Εἰ γὰρ ταῦτα ἐπὶ μελαγχολικοῦ χυμοῦ παροξύνασθαι εἴωθεν, πάντως ἂν διαλυθείη τοῦ παροξύνοντος, ἐκ κενωθέντος χυμοῦ. Ὥστε καὶ κατὰ βραχὺ προϊόντα πρὸς τὸ κατὰ φύσιν μεθαστείη ἄν. Ἐπί γε μὴν τῶν χλωρῶν καὶ πελιδνῶν προηγησαμένων, ἀπαγορεύειν μὲν ἤδη χρεὼν τὴν θεραπείαν· ὡς ἄκρον [illegible] φανέντος [illegible] τῶν παθῶν, εἰ τὸ μὲν [illegible] πάθημα [illegible] ἐκεῖνο δὲ τῆς [illegible] ψυχρότητος. Αἱ γὰρ [illegible] ἰοῦσαι ποιότητες λύσιν ἐπάγουσι [illegible] [illegible] καὶ [illegible] τῆς φυσικῆς δυνάμεως. Ἔπειτα καὶ ἄλλως ἂν πυρετοῖς [illegible] καὶ τῆς δυνάμεως ἐρρωμένης. [illegible] [illegible] ἀπειλοῦσι μὲν θάνατον. Οὐκ ἰσχύουσι δὲ δυοῖν ἀγαθῶν ἐπὶ μαχομένων φαύλῳ σημείῳ. Ὀξέος δὲ τοῦ πυρετοῦ τυγχάνοντος προσδοκητέος ὁ θάνατος. καὶ μάλιστα εἰ κρίσιμος ἡ μαρτυρήσασα πέφυκεν. Ἀλλὰ μὲν περὶ τῶν [illegible] ἐν ἄλλοις εἴρηται τῷ σοφῷ Γαληνῷ. Ἔξεστι δὲ καὶ ἡμῖν ὧδέ πως προϊόντος φάναι τοῦ λόγου, ὅσον ἂν ἀνῆκον δόξῃ τῇ περὶ οὔρων πραγματείᾳ. Τοῖς γὰρ μαθεῖν σπουδάζουσιν ἀσφαλέστερον ἡ Γαληνοῦ γραφεῖσα πραγματεία συνοίσει· ἡμῖν δ' ἐπεὶ περὶ τῶν ἐν χρώμασι τεθεωρημένων προγνώσεων [illegible] [illegible] ἂν εἴη ἐνταῦθα μὲν τὸν περὶ [illegible] λόγον καταπαύειν. Ἑξῆς δὲ τὸν περὶ τῶν [illegible] [illegible] [illegible] τοῖς ἄλλοις [illegible] λέξεις. Εἶθ' οὕτως καὶ περὶ τῶν παρυφισταμένων, καὶ τῶν ἐν τούτοις τεθεωρημένων.

Κεφ. ια.

Περὶ τῆς κατὰ τὴν σύστασιν Προγνώσεως.

Τῶν τοίνυν ἐν τοῖς οὔροις τεθεωρημένων συστάσεων, πολλῶν μὲν οὐσῶν, καὶ διαφόρων· τῷ πλείονας ὡς [illegible] ἀποσημειοῦν [illegible] ὀνομάτων ἀκριβέστερον περὶ τούτων ἐν τοῖς περὶ διαφορᾶς [illegible], [illegible] τῷ λόγῳ νῦν ἂν εἴη προσῆκον, καὶ τὰς ἐπ' αὐτοῖς ἐπιθεῖναι προγνώσεις. Οὐκ ἧττον τῶν [illegible] [illegible] τῇ περὶ οὔρων θεωρίᾳ. Ὅσαι μὲν οὖν τῶν συστάσεων παραπεπήγασιν τῇ

συμμετρίᾳ

συμμετρία, ῥᾳδίως τ' ἂν ἴσως κινοῖντο πρὸς τὸ σύμμετρον χωρῆσαι, καίπερ ἔτι τὴν δύναμιν ἐρρῶσθαι σημαίνουσι τῷ λόγῳ τούτῳ. Καθ' ὅσον δ' αἱ ἀποστᾶσαι πρὸς ἀμετρίαν τὸ σύμμετρον ἐκκεκλίνασι, τήν τε δύναμιν πολλῷ καταβεβλῆσθαι σημαίνουσι, καὶ τὴν ἐν τῷ σώματι τῶν χυμῶν οὐσίαν διαλλάττειν τοῦ κατὰ φύσιν κατά τε ποσότητα καὶ ποιότητα. Ἀλλ' ἀναγκαῖον ὧδε τοῦ λόγου καὶ καθ' ἕκαστα τῶν φαινομένων διορισμάτων συστάσεων. Αἱ τοίνυν λεπταὶ συστάσεις γινόμεναι, δι' ἃς μὲν αἰτίας, καὶ ὅτι ἐκλύεται, ἐν τοῖς προῤῥηθεῖσιν εἴρηται λόγοις, νῦν δὲ προσαποδοθήσεται τῷ λόγῳ καὶ τὰ λοιπά. Αἱ μὲν ἐπὶ τὸ αὐτὸ χρονίζουσαι λεπταὶ συστάσεις τὰ τῶν κατεχόντων πασῶν συμπτώματα μένειν τε καὶ ἐπιτείνεσθαι ἴσως σημαίνουσιν, ὡς μήπω διανισταμένης τῆς φύσεως πρὸς τὴν τῶν λυπούντων ἄμυναν. Εἰκότως γὰρ ἂν καὶ ἐπιτείνοιτο, τοῦ μὲν κατέχοντος προστιθεμένου τάχει, τῆς δὲ φυσικῆς κατὰ βραχὺ δυνάμεως ἀπαγορευούσης. Ταύτῃ μὲν γὰρ ἀρχαῖς καὶ μάλα εὐτόνως ἀντίσχουσα αὕτη φαίνεται, ἂν δέ γε τὰ ἀντίσχοντα μείζω τῆς κατ' αὐτὴν δυνάμεως, ἢ βραχύ τι ὅσον ἱκανὸς διαναστᾶσα, τοῦ λοιποῦ ἀπαγορεύει τὴν ἧτταν ἀπειληφυῖα. ὥστε καὶ χεῖρον προσαποδοθείη ἂν διὰ τοῦτο τοῖς λεπτοῖς οὔροις χρώματα, καὶ διαφανέστεραι γένοιντ' ἂν αἱ ἀπεψίαι. Καὶ ἐνταῦθα οὖν στοχαζόμενος, φαίης ἂν ἤτοι πλείονος ἐπιδεῖσθαι χρόνου τὴν φύσιν εἰς ἧτταν, εἴπερ ἔτι τὰ τῆς δυνάμεως ἔρρωται, ἢ ταύτην ἀπειπεῖν τῷ μὴ τοσούτῳ χρόνῳ τὴν μάχην ἐξαρκέσαι φέρειν, ζημίαν ὑπανακρούειν τὸν κάμνοντα τῆς ζωῆς. Ἂν μέντοι αἱ ἄμετροι λεπτότητες ὑποχαλῶσιν ἐνδιδοῦσαι, τά τε φαῦλα τῶν συμπτωμάτων ὑφορμοῖντ' ἄν, ἀλλ' ἡ δύναμις ὥσπερ ἀνεῤῥωμένη πάλιν ἐπιδίδωσι προβαίνουσα. Ὥστε καὶ τὴν σωτηρίαν ἐνταῦθα συνιόντα προσήκει ἐξαγγέλλειν τοῖς κάμνουσιν. Οὐ δεῖ δὲ λανθάνειν ὡς ὑφαιρεῖταί τι τῇ φαντασίᾳ τῆς προσόψεως λεπτότητος, τὰ ταῖς λεπταῖς συστάσεσιν ἐπιμιγνύμενα χρώματα, ὥσπερ δή που τὸ πολὺ τοῦ χρώματος ἀφαιρεῖται τὸ πάχος. Δίκαιον δ' ἂν εἴη ἐνταῦθα περὶ τούτων φάναι, καίτοι καὶ τάχιστα λυσιτελοῦσι τῆς θεωρίας. Ὥστε ἐνταῦθα ὡς εἰκὸς τὸν περὶ τούτοις λόγον συμπλέκω.

Κεφ. ιβ.

Κεφ. ιβ.

Ὅτι καθ' ὅσον ἂν χρωσθείη τὰ οὖρα, ἀφαιρεῖται τῆς ἐνστάσεως λεπτότητος τὸ πλέον τῇ φαντασίᾳ.

Ἀφαιρεῖται [illegible] τῶν λεπτῶν [illegible] τὰ χρώματα τῇ φαντασίᾳ καθόσον ἂν τὰ χρώματα [illegible] [illegible] : ἐπεὶ δὴ τοῦτο λέλεκται λεπτὸν ἂν ὄντως, ὅπως ἂν ᾖ διαφανέστατον· τά τε λευκὰ τῶν χρωμάτων μᾶλλον πέφυκεν ἐν αὐτοῖς. Τῶν ἀγγείων τὸ διαφανὲς ἀπολειπόντων, τῇ μαλακῇ τῆς ἀερώδους μᾶλλον οὐσίας, ἁπλῶς ἂν ἀχρώμων γινομένων ἀντιφανεστάτῳ σώματι τῇ ἀμυδρῶς ταχέως ἡ ὄψις πάντα διικνουμένη, μηδενὸς ἧττον διαφανοῦς ἀντέχοντος σώματος. Ἐπεὶ γὰρ ἡ ὄψις τότε δὴ ἐντελεχείᾳ ὄψις ᾖ ὁπόταν ἀπερεισθείη ἐπὶ συνεστηκότος σώματος. Ἐν γὰρ τοῖς λεπτοῖς καὶ ἀερώδεσιν, οὐκ ἂν ἀπερεισθείη διαδήλως οὖσι λεπτοῖς τε καὶ διαφανέσιν. Εἰκότως οὖν κἀνταῦθα τῷ τῆς ἀναλογίας λόγῳ μᾶλλον τὰ μετὰ λευκοῦ λεπτὰ διαπαρέσει χρώματα, ἢ τὰ μεθ' ἑτέρου χρώματος· ὥσπερ ἀντιδιδούσης μᾶλλον τῆς ὄψεως τῷ ἧττον διαφανεῖ, [illegible] ἐπείπερ ταῦτα λεπτὰ τυγχάνει τῇ ἐπὶ πλεῖον χρόνῳ περὶ τὰ χρώματα διατριβῇ τῆς ὄψεως. Τοσοῦτο μέντοι ἀλλήλων τὰ χρώματα διενήνοχεν ὡς τὸ τοῦ ἑνὸς λευκοῦ [illegible] φαντασίαν ἀφαιρεῖν, ὅσον [illegible] λευκοῦ διαπέπτωκε χρώματα. Καὶ δῆλον ἂν εἴη ἀπὸ τῶν λεπτῶν μὲν τῇ συστάσει, μελάνων δὲ τῷ χρώματι, μὴ ῥαδίως οὕτω διαφαινομένων ἐν τοῖς ἀμίσιν. Ἐπεὶ γὰρ ταῦτα μικροῦ δεῖν πάσης [illegible] διὰ ἀχροίας τῇ πρὸς τὰ [illegible] ἀντιβαίνει τὸ μελάγχρως μᾶλλον [illegible] χρώματος, ὁμοίως καὶ τῆς [illegible] διαφανείας κατὰ τὸ μέτρον ἀναλόγως τῆς [illegible]·

Κεφ. ιγ.

Κεφ. ιγ.

Ὅτι καθ' ὅσον ἂν παχυνθείη τὰ οὖρα ἀφαιρεῖται τοῦ ἐνόντος ἢ παχυνθῆναι.

Ἐπί γε μὴν τῶν ἀφαιρουμένων τῷ πάχει τὰ χρώματα, τοιοῦτος ἂν ὁ λόγος ἀποδοθείη. Ἐπειδὴ [illegible] τῆς θερμασίας συγχέοντα χρώματα, διαφανῆ καθ' ὅσον ἂν ἥκοι λεπτότητα, διαφανέστερα γίνεται. Τὰ γὰρ μᾶλλον διαφανῆ καθαρώτερα καὶ τὰ οἰκεῖα δείκνυσιν χρώματα· ῥᾳδίως μὲν περαιουμένης τῆς ὄψεως διὰ τὰ λεπτότερα, ῥᾳδίως δὲ καὶ ἀντιλαμβανομένη τῶν ἐν αὐτῇ χρωμάτων. Εἰκότως οὖν ἀφαιρεῖται πως τὰ χρώματα τοῖς τε ἐπιγεγεννημένοις πάχεσι, καὶ τῷ [illegible] τῆς ἐπιγενομένης [illegible] μὴ περαιοῦσθαι. Ἔπειτα καὶ τῆς λευκότητος πολλῷ συναγομένης τῆς παχύτητος εἰς τὴν τῆς ὄψεως ἀντίληψιν· τὰ δὲ παχέα τοῖς [illegible] χρώμασιν [illegible] μᾶλλον [illegible]· [illegible] τὸ πάχος τοῦ χρώματος· ὥσπερ ὄντα καὶ [illegible] ἄδηλα, τῷ τῆς παχύτητος λόγῳ τῆς καθαρότητος ἀφαιρεῖται χρώματος. Κἀπὶ τῶν διαφανῶν τινα [illegible] λίθων, ἔξεστιν [illegible] μαθεῖν τοῦτο. Τῶν γὰρ λείων δηλονότι γινομένων τῇ τέχνῃ τὰ χρώματα ἐπιδηλότερα φαίνεται τῶν ἔτι [illegible] μενόντων. Ἀλλ' ὁ μὲν περὶ τούτων λόγος ταυτὶ ἀρκείτω, ἀρκούντως οἶμαι ῥηθείς. Ἑξῆς δὲ καὶ τῶν ἀπὸ τῶν παχέων νομιζομένων συστάσεων ῥητέον. Περὶ γὰρ τῶν λεπτῶν ἱκανῶς εἴρηται.

Κεφ. ιδ.

Τὰ τοίνυν παχέα τῶν οὔρων εἰ μὲν ἐπὶ πυρετῶν λεπτῶν τε καὶ διαφανῶν ἡγησαμένων οὔρων ὀφθείη προϊόντος τοῦ νοσήματος ὑποδέχεσθαι καὶ προλέγειν ὅσον οὔπω τὴν ἄνεσιν ἐσομένην. Ὑποφαίνεται γὰρ ἐνταῦθα τὴν φύσιν ἤδη τῆς ὕλης καταρατεῖν, καὶ ταύτην πε[illegible] ῥᾶστα [illegible] ὥσπερ καὶ διαχωρήσεις γαστρὸς γένοιτ' ἂν ὧδε ὑποβιαζομένης ἤδη καὶ πεπειρωμένης ἤδη τῆς ὕλης, τούτῳ δ' ἂν σημαίνοιτο καὶ ἀσφαλεστέρως εἶεν ἔσω καὶ

πεπαιτῶς

προσαιτως ἤτοι τὸ πλέον ὑφείσης τῆς πάχυς, ἢ καὶ τὸ πᾶν δηλαδὴ τῆς διακρίσεως γινο-
μένης. Ἐνταῦθαν δ' ἂν εἰκότως κατὰ βραχὺ τῆς πάχυς ἀφαιρουμένης, ἤτοι πεττομένης τε
καὶ μεμιγμένης τῆς λυπούσης ὕλης τά τε συμπτώματα διαλύοιντ' ἂν τῶν φυσικῶν ἐπιφε-
[illegible] [illegible], καὶ τὰ οὖρα πρὸς τὸ οἰκεῖον ἂν χωροίη χρῶμα. Εἰ δ' ἅμα τῇ προσβολῇ τῆς
πυρετοῦ παχέα φαίνοιτο, καὶ μήτε προϊόντος καθίσταιτο, μήτε καθιστάμενα λεπτύνοιτο ἀεὶ δὲ
ἤτοι τῷ πάχει ἐπιδιδῷ ταῦτα, ἢ καὶ μὴ ἐπιδιδόντα, οὔτε λεπτύνηται, οὔτ' ἐπὶ τὰ κρείττω
τῶν χρωμάτων μεταβάλληται· μανθάνειν μὲν ἄξιον ὧδε τὴν [illegible] ἀδυνίαν, τὸ πλῆθος δ' οὐκ
ὀλίγον καταγοχάζεσθαι τῶν χυμῶν, ὥστε καὶ δέος οὐ βραχὺ μὴ ἀπεπτούσης ἤδη τὴν φύσιν τῶν
[illegible] [illegible] ἀναγκαίων ἐπιλαθέσθαι. οὐ δ' ἂν εἴη χεῖρον σωματι τῇ ταύτης ἐναργείᾳ συνιε-
[illegible]; Οἷόν τι κατὰ τινὸς οὐ πάνυ πρώην ἑώρακα μειρακίου· οὗ μὲν γὰρ ἔχοντος οὕτως ἢ [illegible]
ῥώμης τε καὶ μεγέθους σώματος, πλείοσι δὲ καὶ διαφόροις χρώμενος βρώμασι, ἀδιαλείπτως τῶν ἀλλη-
φαρῶν. Καὶ γὰρ ἦν ὁ [illegible] συνεχῶς ἐλίσσετο πυρετοῖς, καὶ γαγγραίναις ἐπὶ τούτοις περιπίπτων,
ἀπηλλάττετο τῆς δεινοῦ. Ἀλλά ποτε περιπεσὼν πυρετῷ ὑπὸ ἀηδίας ἀναδοθέντος σιτίων,
[illegible] [illegible], καὶ [illegible] ὤκισεν. Τρίτη μὲν οὖν ἦν [illegible] καθ' ἣν ἐγὼ μεταπληθεὶς
[illegible] καὶ ὁ [illegible] οὐ μετρίως εἶχον, σφυγμοὺς μὲν [illegible], καὶ οὐκ ὀλίγον τὸν πυρετὸν [illegible], ἐπὶ
τῇ [illegible] τῶν χυμῶν [illegible]. ἐπὶ τούτοις [illegible] [illegible], πολὺ μὲν τὸ πάχος ἔχουσαν, καὶ ὅσον
μὴ [illegible] πλέον ἀπολαβεῖν, καὶ τὸ χρῶμα ποικίλον τι καὶ ἀλλόκοτον, οὔτε γὰρ ἐδόκει λευκὸν
οὔτε [illegible], οὔτε μέλαν, οὔτε πυρρὸν τῶν πάντων τούτων καίτοι γε τῶν χρωμάτων ὧδε διαφαινομένων,
οὔτ' [illegible] [illegible] τε καὶ [illegible] [illegible] τόποις, οὔτ' αὖ ἀνακεκραμένων πάνυ, ἀλλὰ
μέσως πως κειμένων. Τὸ μὲν οὖν ἀλλόκοτον τῆς τοιούτου εἴδους πάνυ τι αὐτὸν ἐθαύμασα, καὶ πολλὴν τὴν
τῶν χυμῶν διαφθορὰν ὑπονοεῖν ἐπῄει, ἢ τό γε ἀληθέστερον, ἀναστοιχείωσίν τινα τῶν χυμῶν εἶπε-
τε αὐτῶν τὰ οὖρα γεγονέναι τῷ ἀνθρώπῳ. Τά γε μὴν ἐπὶ τούτοις, γαστρὸς ὑποχωρήσεις ἀμέτροι καὶ
[illegible] [illegible] ἦσαν τὴν ἐπὶ τὰ κάτω ῥοπὴν τῶν διαφθορότων ἀληθῶς τῶν χυμῶν, καί τις δὲ λύσις
τούτῳ τῆς παντὸς καθίστατο [illegible], τῇ γε τῆς [illegible] [illegible], καὶ τὴν τῶν [illegible] πληθ-
μονὴν καταβεβλημένης τῆς δυνάμεως, ἐκράτει. Καὶ γὰρ καὶ ὅσον [illegible] τούτῳ χολαὶ

προϊούσων

προσήκειν, πλείους τε καὶ συνεχέστερον [illegible] ἐπιβάλλεσθαι τὸ [illegible]. Καὶ ταύτην μὲν οὕτω πονηρῶς εἶχεν ἡ δὲ ἄπιστα καὶ τὴν τῶν ἄλλων εἶχεν ἀπόκρισιν. ὥστε τὴν πᾶσαν ἐκείνην ἐπανιέναι ἐπὶ τὴν γαστέρα χωρῆσαι, καὶ τῷ τῆς πυρετοῦ δριμύτητι διαξηράνθαι τὸν περὶ τὸν τράχηλον τῆς κύστεως, [illegible] φάραγγα. Ἐπὶ τοσούτῳ δὲ ἡ καθαρτικὴ τότε παρεῖτο δύναμις τῆς [illegible] τῆς ὕλης ἐπὶ τὰ κατὰ ῥοπὴν ὡς νεκρωθῆναι μὲν ἤδη τὰ ἄνω. Αἷμα δὲ [illegible] ἤδη καὶ κρατοῦντος, διὰ δὲ τοῦ μυκτῆρος πέμπεσθαι, καὶ διὰ τοῦ φάρυγγος ἐξωθεῖσθαι. Ἀλλὰ τοῦτο μὲν [illegible] [illegible] [illegible] ἔδυμα [illegible] τὸ πρόσωπον, [illegible] τῷ πλήθει [illegible] τοῦ αἵματος. Ἐπειδὴ ἤδη [illegible] ἦν ἀφ' ὧν τὰ οὖρα ἀπέσχετο, ἡ δὲ κύστις ἀζώδημα πλείονος ἀθροισθέντος οὔρου, καὶ μὴ χρόαν εἰς ἔξοδον ἔχοντος, ἐνήνεκτο ἤδη ἦν καὶ σπασμὸς ἐξαίσιος εἶχε τὸν [illegible] καὶ οὐδὲ [illegible] [illegible] τῆς [illegible] δυνάμεως [illegible] τοῦ [illegible] ὁ ἄνθρωπος. Καὶ τοῦτο μὲν [illegible] [illegible] [illegible] ἐν τῷ [illegible] τὸν λόγον [illegible]. Ἐπεὶ δὲ [illegible] παθῶν [illegible], [illegible] [illegible] [illegible] [illegible] ταῦτα [illegible] τῷ λόγῳ διὰ παραπλήσια ῥηθησομένην οὖρα. Τοῦ γὰρ σκοποῦ μὴ [illegible] καὶ ταῦτ' ἂν λέγοιτο [illegible] ἂν [illegible] λυπεῖν τὸν καὶ τὰ τοιαῦτα [illegible]. ἢ καὶ [illegible] [illegible] [illegible] φασὶν οὖρα πάνυ παχέα ἔχουσαν. [illegible] ποικίλα. καὶ [illegible] [illegible] τὰ τοῦ [illegible] προβραχέος; Ἐλάλλαττο μὲν [illegible] [illegible] ἐκείνοις πυῤῥοῦ χρώματος, καὶ εἰ δεῖ παραδειγματίσαι τὸν λόγον [illegible] [illegible] [illegible] πάντων [illegible] ἢ [illegible], μήτε καταφωτιζόμενα. [illegible] δὲ [illegible] πεπηγότα, καὶ τῇ χροιᾷ ἀνώμαλα φαίνεσθαι. Οὗτος δ' ἄρ' ὁ τὴν ἀμίδα ἔχων, ὑδαλέος ἦν, καὶ ἀζωδηκὼς, ἐφασκέ τε προνενοσηκέναι νόσον οὐ μετρίαν, ἀφ' ἧς περ ἀνακληθεὶς [illegible] τοῦτο τοῦ πάθους γέγονεν. Ἔδοξεν οὖν ἡμῖν ἐπὶ [illegible] ἤδη τῇ πεπτικῇ δυνάμει [illegible] τὸν ἄνθρωπον, ὥστ' [illegible] [illegible] τοῦ [illegible] [illegible], πολλῆς [illegible] [illegible] τῷ σώματι. Καὶ δή ποτε μὲν [illegible] χρῆσθαι ἀχρῆν διαίτῃ πυθόμενος, ᾤχετο, οὐκ οἶδα δὲ τοῦ λοιποῦ ὅτι καὶ γέγονεν εἰ μὴ καὶ αὖθις ἐπανιόντι. Σύ γε μὲν ὁ περὶ τὰ τοιαῦτα σπουδαῖος οὕτω φαῦλα συνιόντα σφόδρα παχέα οὖρα, καὶ τὰς ἐπὶ τούτοις ὡς [illegible] ἐπιθέσεις [illegible]. [illegible] τὴν φυσικὴν [illegible] δύναμιν, καὶ εἰς τὴν τῶν συστάσεών τε καὶ χρωμάτων μεταβολὴν,

309

Καὶ τὰ μὲν ἤτοι λεπτυνόμενα καὶ χρώματα ἀμείνω δεχόμενα, ἀποδέχεσθαί τε καὶ τὴν τῶν λυπούντων ἄνεσιν ὡς ἐσομένην ἀποφαίνεσθαι. Τὰ δ' αὖ ἐπὶ τἀναντία χωροῦντα, μέμφεσθαί τε καὶ ἀποστρέφεσθαι, πολλὴν μὲν τὴν τῆς δυνάμεως ἀτονίαν κατηγοροῦντα, πολλὴν δ' αὖ τὴν τῆς κακοχυμίας πληθώραν. Ἀλλ' ὁ μὲν περὶ συστάσεως οὔρων λόγος, εἰ καὶ μὴ πλείω, ἱκανῶς ὡς οἶμαι ῥηθείς, εἴ γε τοῖς συνετοῖς, καὶ τὰ μικρὰ λόγοις μόνον ἀληθείας ἐχόμενα, πολλὰς ἀρχὰς τὰς ἀφορμὰς εἰς τὴν τῶν νοσημάτων πρόγνωσιν. Ἐνταῦθα δὲ πρέπον ἂν εἴη καὶ περὶ παρυφισταμένων φάναι, οὕτω τῆς συνθήκης ἀπαιτούσης τοῦ λόγου.

Κεφ. ιε.

Περὶ τῆς ἐκ τῶν ἀνομοιομερῶν παρυφισταμένων προγνώσεως.

Ὅτι μὲν οὖν τὰ παρυφιστάμενα λευκὰ ὄντα καὶ λεῖα καὶ ὁμαλὰ παρὰ πάντα τὸν χρόνον, ἀσφάλειάν τε καὶ ὑγείαν σημαίνει, ὅθ' Ἱπποκράτης κεφάλαιον ἔφη καὶ ἡ πεῖρα πρὸς τῷ λόγῳ διδάσκει. Καθότι δ' ἂν λείποιτο ταῦτα τούτων καὶ ἡ ἀκριβὴς ὑγεία λείπει) κατὰ τὸ μέτρον δηλονότι τῆς ἐκ τοῦ κατὰ φύσιν διαπλάσεως τοῦ παρυφισταμένου. Καὶ δὴ τἄλλα μὲν ἔχοντος τοῦ παρυφισταμένου κατὰ φύσιν τε καὶ κόσμον, ἐκλελοιπότα δὲ τὸν οἰκεῖον τόπον, καθ' ὅσον ἂν ἀποσταίη τούτου τοῦ τῆς ἀμίδος πυθμένος ἐπὶ τὰ μετέωρα, πλείω μὲν τὴν τοῦ κουφίζοντος πνεύματος κατηγορεῖ οὐσίαν, ἐκεῖνον δὲ τὸν τόπον τοῦ σώματος μὴ καλῶς διακεῖσθαι, καθ' οὗ ἂν τύχῃ ἐμφερόμενα τὰ παρυφιστάμενα. Καὶ χρονίσαντα μὲν ἐπὶ τοῦ αὐτοῦ μείζους καὶ τὰς βλάβας σημαίνει μετ' ἐξώσεως τῆς δυνάμεως· κατὰ βραχὺ δὲ καθιστάμενα μετριώτερα τούτων πέφυκε. Τοιοῦτο δέ τι καὶ αὐτὸς ποτε μέμνημαι ἰδὼν ἐπὶ τινὸς γυναικός, ἣ παρά τινος Σύρου πιοῦσα φάρμακον καθαῖρον, ἐπεὶ δριμύτερον πως ἐκεῖνο, ὃν ἐτύγχανεν, πρὸς βραχὺ μὲν ἀκάθαρτα τὰ προσήκοντα, τῇ δὲ δριμύτητι προϊὸν, καὶ τῶν ἀγγείων καθήψατο. Αἱματώδη οὖν ἐπὶ τούτοις ἀφέρετο, καὶ ὀδύναι δέ τι τῇ ἄνω γαστρὶ καὶ τοῖς ἐντέροις προσέπιπτον. Τοῦτο ἑωρακὼς ὅ τε ἰατρὸς καὶ οἱ περὶ τὴν κάμνουσαν ἄνθρωποι, ἰσχυρῶς ἐπεχείρησαν τὰ αἱματώδη ἐκεῖνα, καὶ τοῖς ἐπέχουσι πάνυ πολὺ κατεχρήσαντο. Ἀλλ' αὐτῇ μὲν οὕτω καταστᾶσα τότε μὲν ἔδοξεν ὑγιὴς τυγχάνειν, ἐν πολλαῖς δ' ἡμέραις καὶ περὶ τὰ ὑποχόνδρια, βάρους τε καὶ ἀλγηδόνος ᾔσθετο. Ἀποστάσεις ἐπὶ τέλους μέτριαι καὶ δίψαι ἦσαν, οὖρα ταύτῃ, ὅτε μὲν θολερὰ καὶ

παχέα,

παχέα, καὶ τὸ αὐτὸς περὶ διαλαμβανόμενα τὰ παρυφιστάμενα τὸν μέσον εἶχεν ἀπολαβόντα τόπον τοῦ χρώματος. Ἐνίοτε δ' αὖ καὶ μὴ παχυνομένων, καὶ αὖθις ἐπὶ τοῦ αὐτοῦ τὰ παρυφιστάμενα ἑωρᾶτο τόπου. Ἐγὼ μὲν οὖν τοῦθ' ὁρῶν ἐστοχαζόμην ἀπόγεα τοῦ σθένους ἔναγχος φαρμάκου ταῦτα, οὐ μετρίαν ὕλην ἀποσπασθεῖσαν τῶν βαθυτέρων τοῦ σώματος ἐκ ταύτης ἀναπεπλῆσθαι τῇ τῶν τροφίμων καταχρήσει φαρμάκων· προσεφράζαι δὲ καὶ τὰς τροφὰς ὁρμὴν μαλαξουσῶν οὕτω προσαγομένας αὐτῶν, καὶ διὰ κλύσματός τε καὶ βαλάνου, ἀνιέναι δεῖν φάσκων, ἐμαυτὸν ἑώρων ἀκριβῶς ἐστοχασμένον, καὶ τὴν κάμνουσαν ἀνίεσθαί πως τῶν ἀλγεινῶν ἐποίουν. Οὐ μέντοι ταῦτα, οἷά τε ἦσαν, καὶ τοῦ παντελοῦς ἀπαλλάξαι πάθους τὸν ἄνθρωπον, καὶ μείζονος οὖν ἢ κατάκλυσμα δεῖσθαι ταῦτα φάσκων καθάρσεως, οὔτ' ἔπεισθεν δέος οὐκ ὀλίγον ἔσχεν διὰ τὰ πρῶτα οἱ συμβάντα, οὔτ' ἐπαγορεύουσαν ἑώρων πάνυ παιδευομένην ταῖς μετριωτέραις κενώσεσιν, καὶ ἐμοὶ μὲν οὐχ ὑπεῖξαι τότε ὑποθεμένῳ τῷ ἐνθένδε ἀεὶ συνεχομένη. Ἐπεὶ δ' οὐ μετὰ πολύν τινα τὸν χρόνον ἐπὶ τὰ χείρω φερομένη τῶν ἀξιολογωτέραν τινὰ τῇ τέχνῃ μετεκαλεῖτο ἄνθρωπον, κἀκεῖνος ἐκ τῆς αὐτῆς ἀξιώσεως καὶ ἀφικόμενος, ὥσπερ ὑποχονδριακὸν περισπασθὲν τὴν κάμνουσαν πάθος· τὸ δ' οὐκ ἄρα τοιοῦτον ἦν ὥσγ' ἐμὲ οἴομαι, αὐτὸς δὲ ἦν, ἐπαΐδης μετ' οὐ πολὺ τοιοῦτο ἐὰν τοῦ καθαρτηρίου ἔπειθε ἡ προσφορὰν φαρμάκου, καὶ μὴ ἂν ἄλλως ἔφασκεν ἀπηλλάχθαι τῶν κατεχόντων ἀλγεινῶν, εἰ μὴ ταῖς ὑποθήκαις ἐνδοίη τῶν τῶν κρίνειν εἰδότων νοσήματα. Ἐπεὶ δὲ καὶ μικρά τις ῥοπὴ ἀνίστη τὰ μεγάλα δυνά (συνέχησαν γὰρ καὶ ἡμεῖς τὸν λόγον τἀνδρὸς ἐπαινέσαντος) ἐπείσθη τε ἡ κάμνουσα, καὶ μετρίως καθαῖρον φάρμακον τῶν λυπούντων αὐτὴν δεινῶν ἀπηλλάττετο. Οὕτως ἡ ἀφ' ἑτέρα τοῦ πυθμένος διετρίβη χρονίως τοῦ παρυφισταμένου, τοὺς κατ' ἀναλογίαν πεπονθότας τοῦ σώματος δείκνυσιν. Τῶν γάρ τοι περιττῶν ὑγραινόντων τοῦ σώματος φύσει κάτω διωθουμένην πρὸς ἔκκρισιν ἂν ἐπὶ τἀναντία ταῦτα φέρεται ἀντωθούμενα ἐκεῖ σύμπτη, ἐπισωρεύεσθαι εἴωθεν, καὶ τῷ χρόνῳ λυπεῖν τὸν κάμνοντα. Καὶ τὰ μὲν αἰωρούμενα ἐπὶ τὸ μέσον τοῦ χρώματος, μᾶλλον ὑποχονδρίου τε καὶ σπλάγχνων ἁπλῶς δοκεῖ καὶ ἔτι θώρακος. Τὰ δ' ὡς νεφέλη ἐπινηχόμενα τῶν περὶ τὴν κεφαλὴν καθεστηκότων ἀλγεινῶν σύμβολα. Καὶ προσθήσω καί τι τούτων ἱστορίαν ἑτέραν σαφηνείας τινὸς

τῶν λεγομένων. Ἔοικεν τις τῶν ἡμῖν γνωρίμων, οὐ μετρίως πυρέσσων, καὶ διόλου μὲν, ἀλλὰ τὰ παρυφιστάμενα τῶν οὔρων μετεωριζόμενα προυχώρει, καὶ προϊόντα ἐπινήχοντα ἦν, ὁ κάμνων ἐπὶ τούτοις παρελήρει, καὶ ἀναισθήτως ἐπιμελείαν τὰς φυσικὰς ἀνάγκας ἀπεπλήρωσεν. Ἐνδεκάτη ἐπὶ τῇ ἐπιφανείᾳ τὸ παρυφιστάμενον ἀνήχθη, λευκὸν μὲν ὑπόγλισχρον δὲ, καὶ οἷον ... γονῆς ἐν τῷ περὶ διαφορᾶς οὔρων τῷ αὐτῷ τούτῳ τῷ τάχει τυγχάνειν, εἴωθε γὰρ τὰ κατὰ φύσιν εἶναι παχύτερον, καὶ οἷον ἂν φαίης εἶναι τὸ γονοειδές. Τὴν μετ᾽ αὐτὴν δὲ καὶ ἑτέραν οἶμαι οὐδέ τι ὤφθη τοῖς οὔροις παρυφιστάμενον. Ἀνήχθη μετ᾽ οὐ πολὺ τῆς παραφροσύνης ὁ ἄνθρωπος, ῥᾳδίως πάντα ἀπέπαυσε. Οὕτω ἀκριβῶς εἰς τὴν προτέραν ἧκεν ὑγίειαν, καὶ παροτίδες κατάρροοι αἳ ἐξεπεφύκεσαν, καὶ αὗται δὲ πέπαυνται τε καὶ ἀναζομοῦσαι ὑγιεῖς. Ἐοίκασι οὖν τὸ διόλου ἐπινηχόμενον τὸ παρυφιστάμενον τὴν ἐπίκαιρα ῥοπὴν σημαίνειν. Ταῦτ᾽ ἄρα ἡμῖν ἠρέσκετο, ὅσοι περὶ τὰ τοιαῦτα σπουδάζουσι, ἐκμανθάνειν τε καὶ προλέγειν τὰ δέοντα. Καὶ ταῦτα μὲν τὰ παρυφιστάμενα λευκά τε ὄντα καὶ ἀμιγῆ γενέσθαι ὑποσταθέντα τῷ τόπῳ μόνῳ διαλλάξαντα τοσαῦτα λυπεῖν εἴωθεν. Ἂν μὲν τοι καί τινα αὐτοῖς συναπιφέρηται ἀλλοιώσεις ἢ καὶ μὲν τῷ χρώματος τὸν χυμὸν καταγγέλλον. Εἰ δὲ καὶ διαζαίνοιτο διὰ τὰ τοιαῦτα παρυφιστάμενα καὶ τὸ κατὰ πλάτος τοῦ χύματος καταλαμβάνοιεν διάθεσιν κατ᾽ ἀναλογίαν καὶ τὰς ἀλλοιώσεις [illegible] ἐπὶ τὰ μέρη ταῦτα τῆς ὕλης διαβεβηκυίας τῷ πάθει καὶ λέλεκται περὶ τούτων κἀν τοῖς περὶ διαγνώσεως οὔρων λόγοις. Τά γε μὲν φαῦλα τῶν παρυφισταμένων τῷ χρώματι τοσοῦτο χείρω καταγγέλλον τῷ σώματι, ὅσω καὶ πρὸς τὸν παρέρχεται τοῖς κατὰ φύσιν παρυφισταμένοις ὑπεναντίως χωρεῖ. Μέλανα γὰρ ἀναιωρήματι, κάτω μὲν ἰόντα εἰς ὑπερβολὴν πονηρίας ἥκειν δηλοῖ τὴν νόσον. Καθ᾽ ὅσον δ᾽ αὖ ἐπινήχεται, καὶ τὸν παρόντα περιέσεσθαί ποτε δηλοῖ τῆς φυσικῆς δυνάμεως ἰσχύσασης. Ἐκεῖνα μὲν γὰρ τὴν φύσιν καταδέξασθαι νικηθεῖσαν ὑπαγορεύει, ταῦτα δέ πω ἔτι ἀνθέξεσθαι ἀπωθεῖσθαι, ἀνθυπερμαχούσης ὥς τε συμβαίνοντος τοῖς κατὰ φύσιν παρυφισταμένοις. Αἱ δὲ χολώδεις καὶ ὕφαιμοι, καὶ ἐρυθραὶ τὸν μέσον τῶν τε πάνυ πονηρῶν καὶ ὑγιεινῶν ἀναλήψεται λόγον, καὶ τὴν ἐπὶ τῇ κρίσει μετέπειτα ἀναλήψεως δέοιντο δ᾽ ἂν καὶ αὗται πλείονος εἰς πέψιν χρόνου. Ὥστε δεῖ καὶ τῆς δυνάμεως αὐτῶ κατασχιζομένων, ἀναλόγως καὶ τὰς προγνώσεις ἐπισυνάγειν. Περὶ δὲ τῶν

ἀθρόων

λιθίων, καὶ δὲ πλέον τῆς ἐκείνων πεπυρωμένων ἐχόντων καὶ διακαιόντων τάχει τὰ σύμπτωματα, οὐδέ τι γα-
θῶν ἐστιν ἀκριβέστερον. Ἐν μὲν ταῖς ἀρχαῖς τε καὶ ἐπιδόσεσιν τῶν νοσημάτων, φαινόμενα, καὶ μάλιστα εἰ
ἀξιόλογος εἴη ὁ πύρετος, περιουσίαν μὲν ἐξαγγέλλειν τῶν χυμῶν, ῥώμης δὲ καὶ χρόνου ἐς πέψιν α-
δεῖσθαι, καὶ τύχης ἀγαθῆς οἶμαι. Ὥστε καὶ στενοχωρίαν τινὰ ἐνδεῖσθαι περὶ τὸν θώρακα σχάσαιο τῷ πλη-
θει, οἷον στενοχωρουμένου τοῦ διαφράγματος. Ἀκμαζόντων δ' ἤδη καὶ παρακμαζόντων τῶν πυρετῶν, σωτηρία τε καὶ
ἀγαθὰ ὡς ἐκεῖνα τὴν ὁρμὴν εἰληφότων τῶν περιττῶν. Ὁ δὲ περὶ ὀροβοειδῶν τε καὶ πιτυροειδῶν πε-
ταλωδῶν τε καὶ κριμνωδῶν ὑποστάσεων λόγον, πάλαι μὲν ὡς ἤδη ἐν τοῖς περὶ διαγνώσεως οὔρων εἴρηται.
Νυνὶ δὲ τοσοῦτον ἐστιν ἀποφῆναι ὡς ἂν μὲν ἐπὶ τὰ χείρω καὶ πλείω ταῦτα πρόσω μέμψατο, καὶ ἀπαγο-
ρεύειν ὥστ' ἔχει φθείροντα θέρμης. Τοὐναντίον δ' αὖ μειούμενά τε, καὶ ἐπὶ τὰ ἧττον πονηρὰ χωροῦντα
προσίεσθαί τε, καὶ μὴ ἀπελπίζειν τὴν σωτηρίαν τοῦ κάμνοντος. Ἔχοι καὶ τὸν πεφυρμένων λόγον ἐ-
κεινοῦ ἐκτεθειμένον οἶμαι τοῖς τὸ βραχυλογεῖν ἀσπαζομένοις, καὶ τοῖς διὰ μακροτέρων τὰ πλείω μανθά-
νειν ἐθέλουσιν [illegible] οὐδ' ἴσμεν τῷ λόγῳ. Ἐπεὶ δεῖνον ὁ περὶ πεπεφυλαγμένων λόγος οὐδέ τι λυσιτελεῖ
ἐς διάγνωσιν, καθὰ καὶ περὶ τούτων ἐκεῖ πως ἔφαμεν, καὶ νῦν ἐπιθῶμεν τῷ λόγῳ, ὅσον ἂν ἀποχρῆσαι δόξῃ ἐς πρό-
γνωσιν.

Κεφ. 15.
Περὶ τῆς ἐκ τῶν πεμφολύγων προγνώσεως.

Ἐπεὶ μὲν οὖν τῶν ὑγιαινόντων ἐπιπεπολάζουσαι τοῖς οὔροις, ψυχρῶν πνευμάτων νομίζοιντ' ἄν, καὶ μά-
λιστα εἰ μείζους τε καὶ διακεχυμέναι φαίνοιντο ἀνωμάλως. Ἐπὶ δὲ πυρεσσόντων, μήπω πρότερον ὀφθεῖσαι
λύσιν ὅσον οὔπω τοῦ πυρετοῦ σημαίνουσιν. Ἤκουσαν γάρ ποτε φανεῖσαι παρακμάζοντα τὸν πυρετὸν
εἰπεῖν, ὥσπερ ἀμυδρὰ τυγχάνουσα πέψεως σύμβολα, καὶ ἄγγελοι πεφυσημένων ποτὲ πεπεμμέ-
νων νομίζονται; καὶ ἀντ' ἐκείνων ἐνίοτε μὴ φαινομένων, ἀποχρῶσιν αἱ λάμπαι, συναναφαινόμεναι
δὲ καὶ συμπεσοῦσαι πυρετοῖς, ἄλγη μὲν ἀπάγουσιν οὐ μέτρια κεφαλῆς οὐ μὲν τοι καὶ κινδυνώ-
δη, καὶ μάλιστα αἱ κατὰ λεπτῆς συστάσεως, ὡς σκεφάνη ἐπιτυγχάνει, κατὰ δὲ παχείας ὡς μετεω-
ρίσας οὔσας, καὶ αὗται μακρότερα φαινόμεναι σημαίνουσιν. Ὁ δ' ἐκεῖ μὲν εἴρηται κατατάξεως σύμβο-

317

-ζον εἰς πνεύμονα εἶναι, ἐπιπροηγησαμένης δὲ κεφαλαλγίας, ὤφθη, τοιοῦτό τι πάσχειν. Ἐπει-
δὰν θέρους ὥρα ᾖ, τότε γὰρ μάλιστα συμβαίνειν εἴωθεν, ἢ καὶ ἄλλως πως ἐπὶ τὸ θερμότερον διαιτηθῇ
ὁ ἄνθρωπος, δίψα δὲ αὐτὸν ἔχει, προσενέγκηται δὲ τοῦ δέοντος πλείω πόματα, τότε δὴ τότε ἡ κε-
φαλὴ αὐχμῶσα ἐπεσπάσατο τὸ πολὺ τῆς ὑγρότητος καὶ πλήρης γέγονεν, μετ' οὐ πολὺ δὲ ὀδύ-
νην ἔσχεν αὐτὴν καὶ βάρος μέτριον· ἐπισπασαμένη μὲν τοῦ προσήκοντος πλέον, ὡς εἴρηται διὰ τὴν
ἐπιγενομένην αὐτῇ θερμὴν κατάστασιν, ἐξαπορῆσαν δὲ τὴν τοσαύτην πέψαι ὑγρότητα, ἀφ' ἧς αἱ ὀ-
δύναι γίνονται καὶ κεκινημέναι. Ἀλλ' ἐπειδὰν ἡ κεφαλὴ βαρυνομένη, τὸ μὲν πεπλάσθαι, τὸ δ' ὕστερον
ἀπολύσῃ, τοῦτο καταρρυὲν καὶ τῇ λεπτότητι παραρρυὲν εἰς τὸν πνεύμονα, βῆχα μὲν ἤγειρε,
κοιλίας δ' ἤδη ὑποκαθιὸν βραχύ τι ὅσον ἐτάραξεν. Καὶ ὑγιαίνουσι μὲν καὶ νοσοῦσι τοιαῦτα φα-
νέντα οὔρα, τὰ παραπλήσια ἂν σημαίνειεν. Οὐ μέντοι ἐπὶ νοσούντων ἢ πολλοῦ τινος πόματος
προσφορὰν ἢ αὐχμὸν ἐμποιῇ, καὶ ὅσα ἄλλα αἴτια διεγηνοχότα ἢ τῷ τῆς τοιαύτης θέσεως μέ-
ρος προγνώσεως, αἵ γε μὲν τῆς κεφαλῆς ὀδύνην ἐσήμαινον, κατὰ βραχὺ μὲν διαλυόμεναι, καὶ
τὰς ἀλγηδόνας μειοῦσθαι σημαίνουσιν. Πάμπαν δὲ πολλαὶ καὶ μείζους καὶ ἀνωμάλως διακεχυμέναι
ἐπὶ τῆς ἐλπίδος ἀπαλλαγῆς ἤδη τὰς ἠπιωμένας ὀδύνας. Ὅτι δὲ καὶ τῶν σημαινουσῶν ὀδύνην
περιβολῶν· αἱ μὲν διὰ πάσης τῆς στεφάνης καὶ τῆς ὅλης κεφαλῆς σημαίνουσι τὴν ὀδύνην,
αἱ δ' ἥμισυ μέρος τῆς ἡμισείας· καὶ αἱ λοιπαὶ ἀναλόγως, καὶ τοῦτο μαθεῖν ἐστιν [illegible].

Κεφ. 13.

Περὶ προγνώσεως τῆς ἐκ τῶν κατὰ τὴν στεφάνην ἐλαροειδῶν χρωμάτων.

Περὶ δὲ τῶν κατὰ τὴν στεφάνην ἐλαροειδῶν χρωμάτων, οὕτω δεῖ εἰδέναι, ὡς τὰ μὲν χείρω
χρώματα τῶν κατὰ τὸ λοιπὸν χύμα μέμφεσθαι δεῖ. Καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ χείρω
διαφαίνεται. Τὰ δ' ἀμείνω δεῖ προσίεσθαι ἀρχὴν τυγχάνοντα ἐπικρατείας τῆς φύσεως.
Ἐκεῖθεν γὰρ ὥσπερ ἀπ' ἀρχῆς ἠργμένης τῆς φύσεως ἢ κρατεῖν ἢ κρατεῖσθαι κατὰ τὴν ἀπὸ
τῶν περὶ τὴν στεφάνην χρωμάτων διάγνωσιν, ἔστιν ὡς εἰκὸς εἰδέναι σωτηρίαν καὶ θάνατον.
Ἀλλ' αὗται δὴ στεφάναι τὸ μὴ πλέον ὁμόχροοι τυγχάνουσι τῷ λοιπῷ τοῦ χρώματος χρώματι

οὔτε

ὅ τι διαφαίνεται, καὶ ἀπὸ τοῦ πάθους ἔστιν ὅτε χρώματος συλλογίζεσθαι. Ὅπῃ δὲ τοὐχροιὰν διαφέρουσι τῷ χρώματι ἐπίδηλοι μὲν ἤδη τοῖς νουνεχέσιν. Ἐκεῖθεν δὲ δεῖ τεκμαίρεσθαι τὰς οἵας δή τινας κινήσεις τοῦ σώματος. Καὶ περὶ μὲν τῆς κατὰ τὴν στεφάνην εἴρηται καὶ πρότερον κἀν τοῖς περὶ διαγνώσεως· ὥστε καὶ τὸ νῦν ῥηθὲν πρὸς ἐκεῖνο ἀρκοῦν ἂν δόξῃ τοῖς ἐκ βραχέων συλλογιζομένοις καὶ πλείονα. Νῦν δὲ προσυπομνησθέντες καὶ τῶν ἔτι λείπεται τὸν περὶ προγνώσεως ὧδέ πη καταπαύσωμεν πρῶτον λόγον.

Τὰ τοίνυν ὄζοντα τῶν οὔρων μετὰ φαύλων μὲν χρωμάτων καὶ παρυφισταμένων φαινόμενα, τὴν ὕλην ἔχειν διαφαίνει νεκρώδη τοῦ σώματος, ὡς ἐγγὺς ἤδη τελεῖν τὸν θάνατον εἰκάζειν προσήκει προλέγειν. Ἑτέρως δ' ἔχοντα καὶ μάλιστα εὔπνουν ἀφιέναι, ἐκεῖνο γὰρ τὸ ὄζον, καί πού τινα αὐτὸς σημαίνει πληγήν. Κἂν μὲν προήκοντι τῷ χρόνῳ μείω τῆς ὀδμῆς καὶ τὰ τοῦ πύου φαίνηται, τάχ' ἂν ἐπικρατεῖν τῆς φύσεως λογίσαιο· ἐκεῖνο δ' οὖν εἰ τἀναντία. Ἀλλὰ δὴ καὶ τὰ συναχθῆ ἐπινηχόμενα συνθήματα, καὶ οἷον ἀράχνια φαῦλά τε καὶ προλέγειν χρὴ ἢ νεφροὺς πεπονθέναι, ἢ τὸ σῶμα ἀθροαῖν, συντήξεως γινομένης. Καὶ ταῦτα μὲν ὧδε κείσθω. Ἐπεὶ δὲ μέτρον ἀρκοῦν ἤδη τῷ λόγῳ τεθήκαμεν τούτῳ, ἐνταῦθα μὲν τοῦτον καταπαύομεν διαζιόντες, ὅσα ἔν τε χρώμασι καὶ συστάσεσι, παρυφισταμένοις τε καὶ ὅσα ἐν αὐτοῖς τεθεώρηται, στεφάναις τε καὶ πομφόλυξιν ὀσμαῖς τε καὶ τοῖς ἐπινηχομένοις συνθήμασιν, ἐς πρόγνωσιν εἴωθεν λυσιτελεῖν.

Ὅσα δὲ λέλειπται ὁ μετὰ τοῦτον ἕξει λόγος, τάχα γὰρ ἂν ἐν ἐκείνῳ καὶ τὸ πᾶν τῆς πραγματείας περαιώσωμεν. Εἴη δὲ κακοῦ τὰ δέοντά τε καὶ λείποντα φάναι, κἄν τοι δὴ καὶ διαμαρτεῖν γένηται, ἀνθρώπους ὄντας, καί τοι γε πολλὰς ἐν ἄλλοις ἀφορμαῖς εὑρηκότας. Συγγνοίη μὲν ἂν ὁ συνετὸς πρὸς τὸ σύν τε ἐπίβουλον τῆς πραγματείας ἑωρακώς, προσθείη δ' ἂν ὁ προσεξευρὼν τὸ ἐπὶ πᾶσιν κάμνουσί τε καὶ ὑγιαίνουσιν τῆς πραγματείας σκοπήσας χρήσιμον.

Ἀκτουαρίου περὶ
προγνώσεως τῶν οὔρων τὸ Α.
Τέλος.

Ἀκτουαρίου

ΑΚΤΟΥΑΡΙΟΥ
ΠΕΡῚ
ΠΡΟΓΝΏΣΕΩΣ ἐξ ΟὔΡΩΝ

Τὸ Β·

Τὰ δ'

Τὰ δ' ἔνεισιν ἐν τῷ περὶ Προγνώσεως ἐξ οὔρων τὸ Β. λόγῳ

Τὸ τὴν πρόγνωσιν ἀσκεῖν τε καὶ ἐπιτηδεύειν πάλαι μὲν Ἱπποκράτει τῷ σοφῷ διὰ σπουδῆς γέγονεν, ὥστε καὶ προγνωστικὸν ἐκδοῦναι πρᾶγμα. Καὶ μετ' αὐτὸν δὲ τὴν τέχνην τῷ περιγαμενῷ Γαληνῷ, ἀλλὰ δὲ καὶ εἴ τις ἕτερος κατ' αὐτοὺς ἢ καί τι ἀλλαίτερον, πολλὴν τὴν περὶ τούτων πρόνοιαν ἐποιεῖτο. Τὸ μὲν γὰρ ἀλογίστως θεραπεῦον τάτινα ἐπιτυγχάνειν, τύχης μᾶλλον ἄν τις, ἢ τέχνης θείη. Τῷ δὲ λόγῳ μὲν ἐπιχειρεῖν τοῖς νοσήμασι, προλέγειν δὲ τά τε ὄντα καὶ συμβησόμενα, καὶ προγεγονότα πρὸς τούτοις, τοῦτο μὲν ἀξιάριστον μέρος τῆς τέχνης καθέστηκεν οὐκ ὀλίγην δέ τινα τὴν πειθὼ καὶ δόξαν ἐπιδίδωσι τοῖς ἀσκήσασιν. Οἵ τε γὰρ κάμνοντες πυθόμενοι ἃ πάσχουσι πρὶν ἢ φάναι, ἀδεῶς ἑαυτῶν τὴν σωτηρίαν τούτῳ πιστεύουσι. Καὶ οὐδ' αὖ μετ' ἀσφαλείας τε καὶ βεβηκότος ἐγχειρήματος ἔρχονταί τε καὶ ποιοῦσι τὰ δέοντα. Φημὶ δ' ἄρα ἐκ τῆς πείρας τῆς ἐπὶ τοὺς κάμνοντας προγνώσεως τὸ ἀξιόπιστον προσεχεκτῆσθαι τοῖς ἀσκήσασιν. Πολλῶν οὖν ὄντων ἐξ ὧν ἄν τις ἀσκήσας ἐπιτηδεύῃ πρόγνωσιν, οὐχ ἧττον τῶν ἄλλων καὶ ἡ ἀπὸ τῶν οὔρων πέφυκε πρόγνωσις. Οὐ γὰρ δὴ ταύτην ἀσκήσας βραχύ τι ἂν οἶμαι τοῖς ἐπὶ πᾶσι τοῖς γινομένοις ἀνθρωπίνοις πάθεσι διαφέρει προγνώσεως. Ἐπεὶ τοίνυν ἔφθημεν εἰρηκότες ἐν τῷ πρὸ τούτου λόγῳ ὅσα προσῆκεν ἀδόξων ἐπί τε χρώμασι καὶ συστάσεσι καὶ παρυφισταμένοις καὶ ἔτι ἑτέροις, νῦν ἀναγκαίως ἐπιδείξομεν καὶ τὰ λοιπὰ τοῦ λόγου. Ἐπεὶ δὲ καὶ τὰ ἀνυπόστατα τῶν τῶν οὔρων ἐνδεικνύειν ἐς πρόγνωσιν εἰώθασιν, περὶ τούτων πρῶτον εἰρήσεται, εἶθ' οὕτως καὶ περὶ τῶν ἐλαττουμένων ἔχειν ὅσα δηλονότι ἐπί τε διαφοραῖς πυρετῶν λέγεται, καὶ πεπονθόσι τόποις καὶ πρὸς τούτοις ἔτι ὄντα τοῖς κρισίμοις, καὶ μὴ τῶν ἡμερῶν ταῦτα δηλοῖ.

Κεφ. α.

Περὶ τῆς ἐκ τῶν ἀνυποστάτων οὔρων προγνώσεως.

Τὰ μὲν οὖν ἀνυπόστατα τῶν οὔρων ταῦτα μὲν ὅσα εἰκὸς οὐκ ὀλίγην δὲ τὴν ἐν αὐτοῖς διαφορὰν ἐκληρώσατο. Ἐν μὲν γὰρ τοῖς ὀξέσι πυρετοῖς κατά τε τὰς ἀρχὰς καὶ ἐπιδόσεις μὴ φαινόμενα τὰ παρυφιστάμενα οὐ μικρὰν εἶναι τὴν ἀρρωστίαν τῆς δυνάμεως ἐξαγγέλλει. Ἐπεὶ γὰρ ἐπὶ λεπτὸ

ἀτονίας ἢ καὶ αὐτῇ ὡς καὶ τῶν ἀναγκαίων αὐτῶν ἐπιλαθέσθαι διὰ σφοδρᾶς λυποῦντα αἰτίας τί-
ἂν τις φαίη ἢ μὴ ἐξιάσθαι καὶ μέχρι αὐτῆς ἀκμῆς τὸ νόσημα, προκατειληφυίας ὥσπερ τῆς φύσεως.
Καὶ πολλαὶ μὲν τούτων ἀγρυπνίαι γένοιντ' ἄν, οὐ μέτριοι δὲ θόρυβοι, καὶ παραφροσύναι, ἀλλοιοῖτό τε ἡ
ὅτι χεῖρον τούτων, θάνατον ἀπειλήσοι τῆς νόσου. Ἂν μέντοι μέτριος ὁ πυρετὸς τύχῃ ὤν, καὶ τοιαῦ-
τα φαίνηται ἐν ἀρχαῖς τε καὶ ἐπιδόσεσι τὰ οὖρα, συμβαίνει μὲν ἂν καὶ οὕτω παραπλήσια συμπτώματα,
πάνυ γε μὲν μετριώτερα, καθ' ὅσον ἂν δῆλον ὅτι ἥ τε δύναμις ἔρρωται, καὶ ὁ πυρετὸς πραΰτερος φαίνηται.
Εἰ δέ γε ἔνδον ποτὲ ἀνακαλέσασθαι τὴν δύναμιν, μὴ πάνυ ὑπὸ νοσερῶν πολιορκημένην αἰτίων,
καὶ πέψιν ἐπιχειρῆσαι, καὶ ὑφιστάμενα δεῖξαι, μετρίως τινὸς τυγχάνοντα σύμβολα. Συμβαί-
νει γε μὲν ἐνίοτε ἐπὶ τοῖς ἀνυποστάτοις τῶν οὔρων λεπτοῖς τυγχάνουσι, μετὰ πραυτέρων τῶν πυρε-
τῶν, ἀλλά γε καὶ ἄλλα ἄττα συνεργὰ τὴν ἀπόστασιν γενέσθαι τινὶ τοῦ σώματος ἀπαῖσα δηλονότι συνα-
θροιζομένου τοῦ πυρετοῦ, εἴη δ' ἂν αἴτια συνεργά, χειμερινὴ μὲν τοῦ περιέχοντος κατάστασις, ἀκρισία δὲ
καὶ πεπλανημένη κίνησις τοῦ νοσήματος, καὶ αὐτοῦ δὴ τοῦ νοσοῦντος μετρίως ἔρρωμένη δύναμις.
Ταῖς μὲν γὰρ ἀρχαῖς τε καὶ ἐπιδόσεσι τῶν νοσημάτων φαινομένων ἀνυποστάτων οὔρων τοιαῦτ'
ἂν ἴσως πρόγνωσις. Παρακμαζόντων δὲ τοιαῦτα ἐπιφανέντα, οὐ πάνυ μεμπτέα δεῖ. Ἐπειδὴ
γὰρ ὁ συνδιαζόμενον τὴν περιεργασίαν δηλονότι τοῦ ἐρρωστήματος τὴν φύσιν γέγονεν. Ἀκμάζοντός τε καὶ
παρακμάζοντος τοῦ νοσήματος, οὐδὲν ἂν εἴη τοῦτο ξένον, ὥσπερ κεκμηκυῖα ἡ φύσις, ἑαυτὴν μὲν
ἀνακαλεῖται πρότερον· εἶθ' οὕτως δὲ καὶ τὰ ἑαυτῆς, θρέψαις μὲν πεισοῦσα τῷ σώματι, παρυφιστά-
μενα δὲ τοῖς οὔροις δεικνύουσα. Τῷ μὲν γὰρ τῆς συναγωγῆς τε καὶ ἀναρρώσεως χρόνῳ βραχέ-
α τινα ἀπισουμένης, ὡς μὴ ἐκλείπειν τέλος ἀρκεῖται. Ἐπισυναχθεῖσα δ' αὖθις πλείω μὲν ἀπι-
σωθῆναι θρέψεως ὕλην, ὑπόδηλα δ' ἤδη καὶ τὰ παρυφιστάμενα γίνεται: ὥσπερ οἶμαι καὶ τοῖς
θηριομαχοῦσι συμβαίη ἂν ἀνδράσιν, εἰ πολὺν μὲν ἀγῶνα ὡς παραγινόμενοι ποιοῦνται. Παραγινόμενοι
δὲ πρῶτον μὲν ἑαυτῶν ἀνακαλοῦνται κεκμηκυῖαν τὴν δύναμιν, εἶθ' οὕτως τῶν σφῶν αὐτῶν ἐπιτελοῦ-
σιν ἐπιτηδεύματα. Ἐνίοτε γε μὲν ὡς που καὶ πρώην εἴρηται, παμμέγεθος ἐπιφαινεῖται ἠρεμοῦσαν ἀντὶ
παρυφισταμένου μήπω πρώην φανεῖσαι, καὶ δι' ἀπαξίας δὲ καὶ ἐμφράξεις συμβαίνει ἂν ἀνυπόστα-
τα καὶ τοῖς ὑγιαίνουσιν. Ἀλλὰ πρὸ βραχὺ μὲν ὀφθέντων, τάχ' ἂν αὐτίκα ὑγιαίνων ὁ ἄνθρωπος.

χρονίζοντος

χρονίζοντος δὲ τοῦ δεινοῦ ῥᾳδίως μὲν ἂν ἄλλῳ νοσήματι, προχείρως δὲ καὶ αὐτὸς προγνοίης αὐτὸς ὁποῖα ἐπὶ πάσιν διαθέσεσιν, μάλιστα νοσήματα ἔσωθεν γίνεται, ἐκ μᾶλλον τῆς τε ἡλικίας καὶ διαίτης καὶ τοῦ περιέχοντος καταστάσεως, τῶν τε ἐν αὐτοῖς λοιπῶν τοῖς οὔροις τεθεωρημένων καθάπερ πρότερον ἔφημεν εἰς τὴν τῶν τοιούτων πρόγνωσιν συντεινόντων. Ἀλλ' ὁ μὲν περὶ τῶν ἀνυποστάτων ὡς ἐν βραχεῖ φάναι λόγῳ τοῦτον ἂν ἀποδοθείη. Ἑξῆς δ' ἂν εἴη χρεὼν καὶ περὶ τῶν ἐν διαφοραῖς πυρετῶν λύσιν ἀπὸ τῶν οὔρων προγινωσκομένων φάναι.

Κεφ. β.

Περὶ τῶν ἐπὶ διαλείπουσι πυρετοῖς οὔρων προγνώσεως.

Τῶν τοίνυν διαλειπόντων πυρετῶν, τριταίου φημὶ καὶ τεταρταίου καὶ προσέτι ἀμφημερινοῦ, δι' ἐμφράξεις τε καὶ ἀπεψίας, καὶ προσέτι ἐπιδόσεις τῶν αὐτοὺς παροξυνόντων χυμῶν γεγενημένων, ἐν ἀρχαῖς δ' ὡς ἐπὶ τὸ πλεῖστον ἀνυπόστατα οὖρα προϊεμένων, καθάπερ καὶ πρότερον διωρίσαμεν. Ἐντεῦθεν ἂν στοχαζόμενος προγνοίης τὸν τῆς παρατάσεως χρόνον. Ἐπεὶ γὰρ μήπω τῆς ἐμφύτου θερμότητος τῆς εἰς δή τινος ὕλης καὶ πέψεως, οἵ τε παροξυσμοὶ καὶ οἱ ἐπὶ τούτοις γινόμενοι πυρετοί, ὥσπερ διαμαχομένης ἔτι τῆς φύσεως εἰς τὴν τῶν λυπούντων πέψιν τε καὶ ἀπόκρισιν. Εἰκότως ἄρα, καθ' ὅσον μὲν ἂν χρόνον ἀμοιροῦνται φαίνεται τὰ οὖρα πέψεως καὶ οἱ κατέχοντες παροξυσμοὶ ἐπιμένειν λυποῦντες τὸν κάμνοντα. Ἐπειδὰν δὲ βραχύ τι πέψεως διαγνωσθείη σύμβολον, ἐλπὶς μὲν περιγενήσεσθαι τὸν ἄνθρωπον τοῦ νοσήματος, ἐπικρατησάσης ἤδη πάμπαν τῶν νοσηρῶν τὴν δύναμιν. Ἐπεὶ γὰρ τοῖς καθ' ἕκαστον παροξυνομένοις βραχύ τι ἀλλοιοῦται καὶ πέψεως οὐκ ἐπιτήδειον ἂν αἴσθησιν μὴ κατακρατεῖν τοῦ πάθους νομίζεται τοῦ πλείονος ἀπέπτου καὶ προσισχομένου τυγχάνοντος. Ἐπειδὰν δ' ἐπικρατείας ἤδη τοῦ λυποῦντος χυμοῦ, πέψεως μὲν ἐπίδηλα τοῖς οὔροις παρυφιστάμενα φαίνεται, ὅσον οὔπω καὶ πᾶν τὸ περιττὸν ἀπώσασθαι τὴν φύσιν πέψασαν μαρτυρεῖ. Παραπλησίως δὲ ἐπὶ τῶν διαλειπόντων πυρετῶν ὁ τριταῖος, ὅτι καὶ νεφέλη μόνη ἐπὶ τῆς τοῖς οὔροις ὀφθεῖσα ἤρκεσεν τὴν λύσιν ἐπισημαίνεσθαι. Τοῦ γὰρ ἔτι λεπτοῦ τε καὶ εὐδιαφορήτου

χυμοῦ,

χυμῶν λάθωσι μὲν αἱ πέψεις τε καὶ ἀποκρίσεις. Ῥᾳδίως δ' ἐπιχειρούσης τῆς φύσεως, τὰ ἐπὶ τούτῳ συμπτώματα λύεται. Ὥσπερ δεῖ τὸν συνετὸν διὰ ταῦτα τοῖς μὲν χρόνοις τῶν ἀπεψιῶν τὴν βραδυτῆτα καταστοχάζεσθαι τῆς λύσεως, τῇ δ' ἀρχῇ τῆς πέψεως καὶ τὴν ταχύτητα καταστοχάζεσθαι τῆς κρίσεως. Καὶ περὶ μὲν τῶν τούτων χρόνων αὐτῷ τῷ σοφῷ Γαληνῷ ἐν τοῖς περὶ κρίσεως διαλέχθη. Τάχα δ' ἂν καὶ ἡμῖν ῥηθείη ὧδε μετρίως πως, ὅσον δηλονότι δέξῃ τῇ περὶ οὔρων ἀνάγκῃ πραγματείᾳ. Ἑξῆς τοίνυν καὶ περὶ τῶν ἐπὶ συναχέσι πυρετοῖς φαινομένων οὔρων διαγνωσάμενοι, ἅπερ δεῖ τὰ ἐς πρόγνωσιν ἀρκεῖν νομίζουσιν οἱ καθ' ἡμᾶς λόγοι. εἶθ' οὕτως καὶ περὶ τῶν λοιπομένων ἐρῶμεν.

Κεφ. γ.

Περὶ τῆς ἐκ τῶν συναχῶν οὔρων προγνώσεως.

Αἱ τοίνυν συναχαὶ πυρετῶν ἐπὶ σήψει γεγενημένοι χυμῶν, ὁποῖοι μὲν ἄν τινες ὦσιν, εἴθ' ἁπλοῖ αἵτινες δὴ καὶ συμπεπλεγμένοι ἀπὸ τῶν ἐμφερομένων δηλώσουσι χρωμάτων. Τὸ δὲ δὴ ποσὸν τῆς σήψεως καὶ τὴν ποιότητα τῶν χυμῶν αἵ τε συστάσεις καὶ τὰ ἐναιωρήματα καὶ δηλοῦνται περὶ τούτων ἀκριβέστερον. νῦν δὲ τοσαῦτα ἔστιν ἀποδοῦναι τῷ λόγῳ ὅσα ἂν ἐς πρόγνωσιν ἀρκέσειεν δόξῃ, ὡς ῥηθήσεται ἐντεῦθεν. Ῥᾳδίως μὲν ἐπιλαμβανόντων τῶν οὔρων διεξελθεῖν ἐν τῷ χρόνῳ πρὸς τὸ κατὰ φύσιν ἀπαγομένων, ὀξεῖαν μὲν τὴν κίνησιν εἶναι νομίζομεν, ἐρρωμένην δ' αὖ γε τὴν δύναμιν. Βραδέως δ' αὖ τὰ οὖρα πεπτόμενα καὶ διὰ χρόνου μᾶλλον ἐς πονηρότερα εἰ ἢ ταῦτα καὶ πόρρω τῶν συμμέτρων παράκειται, ὀξεῖαν μὲν τὴν κίνησιν τῶν νοσημάτων δηλοῖ, ἄρρωστον δ' ἱκανῶς τὴν δύναμιν. Ὡς οὐκ ὀλίγον [illegible]. Ἂν μέντοι μετρίως μὲν φαῦλα τὰ οὖρα ᾖ, διὰ χρόνου δὲ καθίσταται πρὸς τὸ σύμμετρον, τοῦτο τὴν δύναμιν ἐρρῶσθαι δεδώκασιν ἀνάγκη, καὶ τὴν τοῦ νοσήματος ῥώμην πως ἐμφαίνει κινεῖσθαι κίνησιν. Εἰ δὲ τὰ οὖρα τάχιστα ἀλλοιοῦται μεταβαλλόμενα [illegible] τὴν δύναμιν καταγγέλλει, οὐ μέντοι τοῦ νοσήματος κακοήθειαν. Ἀλλ' ὁ μὲν περὶ ποιότητος νοσήματος καὶ διαθέσεως λόγος ἐντεῦθεν συναγόμενος φαίνεται. Καὶ δεῖ τὰς τούτων ἀκριβῶς παρατηρεῖσθαι μεταβολάς, καὶ

κατὰ

ἀπὸ ποίων ἐπὶ ποῖα μεταβάλλεται ἐννοεῖν, καὶ εἰ ταῦτα σώζει ἡ τοῦ νοσήματος ἀκολουθία, καὶ κακοήθεια διαφαί-
νεται. Τὰ γὰρ ὑπεναντίως ἔχοντα, ὕποπτά τε καὶ πονηρά. Πρὸς τούτοις γε μὴν, καὶ τοὺς ἐπὶ ταῖς μεταβολαῖς
χρόνους ἄμεινον σκοπεῖν, ἐπεὶ τάχει δὴ καὶ τὰς ἐπικαίρους κρίσεις, ἄλλα δηλονότι βραδυτέρας, ἄλλα
ὀξυτέρας προφαίνουσι περὶ ὧν μικρὸν οὐ πολὺ λέξομεν. Νῦν δ' ὥσπερ ἀφ' ἑτέρας ἀρχῆς ἀρξάμενοι λέγω-
μεν περὶ τῶν ἐπιμάχων τῶν κυρίων συμβαινόντων μορίοις. Ὁπόταν οὖν ἤ τις ἀξιόλογος δυσκρασία
καταλάβῃ τῶν κυριωτάτων ἕνια μορίων, ἢ χυμὸς ἐπιρρυῇ τινι τούτων, οὐ τὰ μέτρια λυποῦντα, κατὰ
τοῦτο ἂν ἀλλοιωθείη τὰ οὖρα, καθ' ὁπόσον καὶ τὸ μόριον, μειζόνων ἐπικεκοινώνηκεν φλεβῶν τε
καὶ ἀρτηριῶν, τῶν γάρ τοι τοιούτων φλεβωδῶν ἀγγείων ῥαδίως αἰσθομένων τῆς ἐπὶ τῇ καρδίᾳ ἀλλοιώ-
σεως. Οὐ γὰρ ἀφ' ὁποίας δή τινος τῶν κυριωτάτων κακῶς διατεθέντων, αὕτη ἀμετάβλητος μένει,
ἀλλὰ καθ' ὅσον ἂν ἐς ἕτερα τὰ μόρια γένηται ἡ ἀλλοίωσις, καὶ αὕτη μεταβάλλεται, ἤτοι θερμοτέρα
γινομένη, ἢ ψυχροτέρα. Κἄπειθ' οὕτως καὶ τῶν λοιπῶν τῷ χρόνῳ συνδιατιθεμένων μορίων, ἐπι-
δηλότερα οἵ τε σφυγμοὶ καὶ τὰ οὖρα φαίνεται, εἰκόνες τῆς ὅλης τυγχάνοντα διαθέσεως. Ἀλλ' ὁ μὲν
περὶ σφυγμῶν λόγος, μάλιστά γε καὶ τελεωτάτη πάλαι τῷ σοφωτάτῳ ἐκπεπόνηται Γαληνῷ,
καὶ μαθεῖν ἄξιον ἐκεῖθεν τῷ βουλομένῳ. Νῦν δ' ἡμεῖς ἐπιθῶμεν τῷ λόγῳ ὅπερ ἂν οἰόμεθα τῇ
πραγματείᾳ λυσιτελεῖν.

Κεφ. δ.

Περὶ προγνώσεως τῶν καθ' οἵαν δή τινα διάθεσιν τῆς καρδίας οὔρων.

Τῆς καρδίας τοίνυν ἑαυτῆς τὴν κατὰ θερμότητα ἐπιτεταμένην δυσκρασίαν, τά τε οὖρα ἐπιδεικνύ-
ουσι δριμύτερα γεγανωμένα. Καὶ τοῦ πυρὸς ἐπικρατουμένου ἤδη, μέτρια μὲν ἐξ ἀρχῆς ὀφθείη ἂν τὰ
συντήγματα· προβαίνοντος δὲ τοῦ χρόνου, ἤδη καὶ ἐλαιοειδῆ καὶ ἐλαιόχροα καὶ ἐλαιώδη γίνεται.
Κἂν ἤδη δὲ τὴν ἐσχάτην ἐπινέμηται τὸ τοιοῦτον νόσον πῦρ, τῆς στερεᾶς τε ἤδη καὶ τῶν γεω-
δεστέρων ἅπτεται σωμάτων, ἐκεῖναι τῶν ὑποστάσεων φαίνονται, αἷς ἐπὶ τελευτῆς ἤδη καὶ ~

καρασπιώδεσιν

μαραινούσῃ ἤδη ἄγαν συνίζησις πυκνοτῆς. Ὀροβοειδεῖς δ᾽ ἄλλως εἴδη καὶ πιτυρώδεις καταλάβοι κεῖνταί τε καὶ κριμνώδεις. Ψυχρὰν δὲ δυσκρασίαν δεξαμένης τῆς καρδίας μετρίως μὲν ἀλλοιωθείη ἂν τὰ οὖρα πρὸς τὸ λευκότερον χωροῦντα ἄνωμα δὲ καὶ μέτρια τούτοις τὰ παρυφιστάμενα ἄγαν. Τὰ μὲν γὰρ χρώματα ἀλλοιοῖτ᾽ ἂν ἴσως μετρίως, μήπω πάνυ συμπαθήσαντος τοῦ ἥπατος. Τὰ δὲ παρυφιστάμενα ὠμά τε ἄγαν καὶ καθόλου τῆς ἐμφύτου μᾶλλον θερμότητος ἤδη καὶ πέττειν τε καὶ ἀλλοιοῦν παύεται μαραινομένης τῇ γενομένῃ ψυχρότητι. Ἐπιταθείσης δ᾽ ἤδη τῆς ἐν αὐτῇ ψυχρότητος ἤδη μέν, μαραίνεται ἂν ἡ φυσική τε καὶ ἔμφυτος θερμότης· λευκὰ δ᾽ ἐπὶ τούτοις ἄγαν καὶ λεπτὰ τὰ οὖρα καὶ ἀνυπόστατα. Τοῦ δὲ δεινοῦ πάνυ κατακρατήσαντος πελιδνά τε καὶ μέλανα τότε ἂν ἀποδοθείη τὰ παρυφιστάμενα. Ἴσως δ᾽ ἂν καὶ δι᾽ ὅλου οὖρα μέλανα ὀφθείη, ἢ τοῦ μελαγχολικοῦ ἐκείνου πως διαδοθέντος χυμοῦ δι᾽ ἐσχάτην ἀτονίαν τῆς ἐμφύτου δυνάμεως, ἢ τῆς ψύξεως νέκρωσιν μέν τινα παρασχούσης, καὶ μέλανα δ᾽ ἐπιθείσης τοῖς οὔροις τῆς νεκρώσεως χρώματα, ἐνδέχεται γὰρ καὶ θάτερον ἐπιγεγονέναι. Τὸ μὲν γὰρ ἄγαν δὴ τῆς ἀποκριτικῆς δυνάμεως ἐσχάτη ἀρρωστία, ἐπικρατούσης ἐκείνου τῆς μελαίνης χολῆς, ὅτε δὴ καὶ φόβοι καὶ δυσθυμίαι γένοιτ᾽ ἂν τῷ ἀνθρώπῳ, καὶ θράσος οὐ μέτριος. Ἐκεῖνο δ᾽ αὖ τῆς ἄγαν ψυχρότητος ἐπισυναγούσης τὰ ὑγρὰ καὶ μέλανα ποιούσης, καὶ μάλισθ᾽ ὅταν ἀποσβέσασα ᾖ ἢ λαμπρύνουσα τὰ οὖρα χροιᾷ. Τοῦτο δὲ μαθεῖν ἔστιν κἀπὶ τῶν ὀστρακέων φαινομένων νεκρῶν. Καὶ γὰρ ταῦτα ἐψημένα μὲν ὄντα μετρίως τὰ οἰκεῖα δείκνυσιν χρώματα φωτιζόμενα, ἄγαν δὲ πυκνωθέντα μελαίνεται. Ἐμφανῆ μὲν πρότερον γενόμενα τῇ ἐπιταθείσῃ δὲ τραχύτητι, ἤδη καὶ μέλανα τοῦ χρόνου προϊόντος. Καὶ ταῦτα μὲν οὕτω τῆς καρδίας διατεθείσης γίνεται.

Κεφ. ε.

Κεφ. ε.

Περὶ τῆς ἐκ τῶν οὔρων προγνώσεως τῆς κατὰ τὸν πνεύμονα ἀλλοιώσεως.

Ἐπεὶ δ᾽ ὁ πνεύμων μετὰ τὴν καρδίαν ἑτοιμοτέρως ἀλλοιοῦται καὶ τὰ οὖρα μεταβάλλει καθ᾽ ὅσαν δή τινα διατεθεὶς δυσκρασίαν, περὶ τούτου πρῶτον εἰπόντες, καὶ περὶ τῶν λοιπῶν εἶθ᾽ οὕτως ἐροῦμεν. Καὶ δὴ κατὰ θερμὴν διατεθέντος δυσκρασίαν μεταβληθείη μὲν ἂν ἀπὸ τῶν κατὰ φύσιν πρὸς τὸ πυρρὸν χωροῦντα. Ἐπιταθείσης δὲ τῆς θερμότητος προσαποδοθείη ἂν καὶ τὰ χρώματα ἐρυθρά τε, καὶ οἰνωπὰ γινόμενα. Μαρτυρήσουσιν δ᾽ ἀπὸ τῶν ἐκτὸς αἵ τε δύσπνοιαι καὶ αἱ δίψαι καὶ αὐτῆς τῆς γλώττης ξηρότητές τε καὶ μελανίαι. Κατὰ ψυχρὰν δὲ διατεθέντος δυσκρασίαν, βραδύτεραι μὲν ἂν ἀναπνοαί· ὑγρότερον δὲ καὶ μικρότεραι. καὶ ἄδιψοι οἱ κάμνοντες, καὶ ψυχρὸν αἰσθάνονται τὸν ἐκπνεόμενον ἀέρα καὶ βηχία τούτοις μικρὰ ἐρεθίζουσι. Τὰ δ᾽ οὖρα τούτων πρὸς τὸ λευκὸν χωροῦντα, εὖ μάλα ἐπιτεταμένως. Θερμὸν γὰρ ὂν τὸ μόριον κἂν ἐπὶ βραχὺ τὰ οὖρα ἀλλοιώσῃ, πολλὴν τὴν ἐπικρατοῦσαν ψύξιν δηλοῖ.

Κεφ. ϛ.

Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὸ ἧπαρ διαθέσεως.

Ἥπατος δ᾽ ἐπὶ θερμῇ ἐνδηλουμένης δυσκρασίᾳ, πυρρὰ μὲν καὶ ὑπέρυθρα ἤδη, ἐπιταθείσης δὲ λίαν, κυανά τε καὶ οἰνωπά· καὶ βῆχας μᾶλλον ἐρεθίζουσι καὶ δίψαι, τῶν κυρτῶν ἤδη φλεγμαινόντων τοῦ ἥπατος· ὥσπερ ἀμέλει τῶν σιμῶν κακῶς διατεθέντων τοῦ ἥπατος, ψυχρὰ δ᾽ αὖ, μετρίως μὲν ὠχρά τε καὶ ὑπόχλωρα. Ἐπιτεινομένης δὲ καὶ λευκά. καὶ παχέα δὲ τούτοις ἐνίοτε μετὰ λευκότητος διαφαίνεται.

Κεφ. ζ.

Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὸν ἐγκέφαλον διαθέσεως.

Ἐγκεφάλου δὲ μετρίως μὲν θερμῶς διατεθέντος, πυρρά τε καὶ πρὸς πλείονος δὲ καὶ ὥστε φλεγμονὴν μεταστάσης, οἰνωπά τε καὶ ὕφαιμα. Τἀναντία δ᾽ αὖ, ἐκκαλουμένων ψυχροτήτων.

Κεφ. η.

Κεφ. η.

Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὴν γαστέρα διαθέσεως.

Γαστρὸς δὲ ἧττον αἱ μεταβολαὶ καὶ σύμφωνοι τοῖς οὔροις περιπεπτωκότων δυσκρασίᾳ, φαρμάκῳ. Ψυχρᾷ μὲν γὰρ ἑαλωκότων δυσκρασίᾳ καὶ πάνυ λευκὰ γίνεται κατὰ τὸ τῆς ψυχρότητος μέτρον. Θερμοτέρᾳ δ᾽ αὖ, πυῤῥά τε καὶ ξανθὰ ἀφ᾽ οἷς καρδιαλγίαι γένοιτ᾽ ἂν καὶ δίψαι, καὶ χολῆς ἐνίοτε λεπτῆς τε καὶ ξανθῆς ἐμέτοι, ἀποσιτίαι τε καὶ πικρότητος στόματος, καὶ κεφαλῆς ματαία τε ἄλγη. Ὥσπερ ἐπὶ τῇ ψυχρᾷ διαθέσει, ἀνόρεκτοι μὲν καὶ ἄδιψοι, ματαίᾳ οὔσῃ. Ἐπιταθείσῃ δὲ, καὶ σκοτοδινιῶσι, καὶ ἀκρατεῖς ἑαυτῶν γίνονται, ὥσπερ λειποψυχοῦντες. καὶ παλμῶν αἰσθόμενοι τῆς καρδίας βρώματά τε καὶ πόματα ἀποστρεφόμενοι. Τὰ μὲν οὖν ἐπὶ ψιλαῖς μᾶλλον ταῖς δυσκρασίαις εἴρηται. Ἂν δέ τις ἐπιῤῥυεῖσα ὕλη τούτοις πᾶσι τοῖς ῥηθεῖσι ταῦτα παχύνεται ἔσθ᾽ τὰ οὖρα προϊόντα, Καὶ τὰ παρυφιστάμενα δὲ τούτοις ἀθρόα ὥσπερ χαίνεται: καὶ χρονιώτεραι δὲ αἱ ἐπὶ τούτοις νόσοι γίνονται, πέψεσι τῶν χυμῶν ἀπολυομένης τῆς νόσου. Ἀλλὰ ταῦτα μὲν αἵ τε πέψεις τε καὶ ἀπεψίαι, καὶ οἷαι δή τινες μεταβολαὶ τῶν οὔρων διασαφηνίσουσι. Ἡμεῖς δ᾽ ἑξῆς ἴωμεν τῷ λόγῳ.

Κεφ. θ.

Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὴν πλευρῖτιν, ἀληθῆ καὶ νόθον.

Πλευρίτιδος τοίνυν οὖρα ἐξ ἀρχῆς μὲν ὑπέρυθρα, προϊόντα δὲ καὶ ἐρυθρὰ, καὶ οἰνωπὰ γίνεται, καὶ παχύνεται καὶ ταῖς μεταβολαῖς δείκνυσι τὰ ἀποβησόμενα. Ψυχρῶν δὲ χυμῶν τὸ διάφραγμα διακναιόντων, καὶ ματαίαν πάνυ τὴν ὀδύνην ποιούντων, βραχυτάτην δὲ τὴν δύσπνοιαν διὰ τὸν θώρακα βαρύνεσθαι ὑπ᾽ αὐτῶν, λευκά τε καὶ λεπτὰ καὶ αὖθις ἀναβαλλόμενα τε καὶ παχυνόμενα: πλὴν δ᾽ ὑφ᾽ ὁποίας ἂν ἄλλης δυσκρασίας, καὶ τὰ ἐπ᾽ ἐκείνοις χρώματα τῶν οὔρων δείκνυσιν, καὶ ῥᾳδίως μὲν ἀπὸ ψυχρῶν ἀλλοιοῦνταί τε καὶ διαφαίνεται ταῦτα. χαλεπῶς δ᾽ ὑπὸ θερμῶν, καὶ οὕτω λίαν διαφαίνεται ταῦτα.

Κεφ. ι.

Κεφ. ι.

Περὶ προγνώσεως οὔρων κατὰ τὰς νεφροὺς καὶ κύστιν διαθέσεως.

Νεφρῶν δὲ καὶ κύστεως πεπονθότων τὰ παραπλήσια συμβαίη ἄν. Εἴρηται γὰρ μὲν καὶ περὶ τούτων ἐν τοῖς περὶ διαγνώσεως οὔρων λόγοις ἀκριβέστερον, καὶ τὰ ἄλλα δ᾽ ὅσα συμβαίνειν αὐτοῖς εἴωθεν, ἐκ τῶν ἤδη ῥηθέντων μανθάνειν δεῖ. Ἐπεὶ δὲ ταῦτ᾽ οὐρητικὰ ἀγγεῖα τετύχηκεν ὄντα, ῥᾳδίως κἄν τι αὐτοῖς συμβαίη δείξωσιν ἐκ προχείρου τὸν τρόπον ἔχοντα τῆς ἀποδείξεως. Τὰ μὲν γὰρ ἄλλα τῶν μορίων μόνον ἀλλοιώσαντα σφοδρότερον τῇ οἰκείᾳ διαθέσει τὰ οὖρα οὐδέν τι ἕτερον διάδηλον ἐπιδεικνύουσι σύμβολον. Ὥστε κἄν τι [illegible] αὐτοῖς ἐπισυμβαίη πάθος οὐ πάνυ προχείρως κἂν τοῖς οὔροις ὀφθείη. Ταῦτα δ᾽ ἐπείπερ [illegible] τῶν ἄλλων ὄντα, τὸν ἐπισυναγόμενον ὀῤῥὸν ὑποδέχονται, καὶ τὰ αὐτῶν κἂν μέτρια ἢ ὁπόσα ὑποδεικνύουσιν, οἷόν τινα μισθὸν τοῦτο πλέον τῶν ἄλλων εἰληφότα μορίων, ὑπὲρ τῆς τοιαύτης διακονίας τῆς φύσεως.

Κεφ. ια.

Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὸ κῶλον καὶ τὰ ἔντερα διαθέσεως.

Κόλου γε μὲν φλεγμαίνοντος καὶ ἐντέρων, οὐκ ἂν κατ᾽ ἐκεῖνα ἂν ἐπιχρώσθαιη ὅσα τῷ φυσικῷ θερμῷ [illegible] μᾶλλον ἐπικοινωνήσειεν. Ψυχρὰ δ᾽ ἀλγημάτων [illegible] καὶ λευκὰ αὐτοῖς ἐπιῤῥέοντος χυμοῦ λευκὰ καὶ ὑδατώδη. Καὶ εἴ τις εἴη ἔμφραξις ἐπὶ κώλῳ, ἀνυπόστατον. Ἐπὶ δ᾽ ἐντέρων παχύνεται πολλάκις [illegible] καὶ [illegible] προβαίνοντος, καὶ [illegible] πλείω [illegible] καὶ ὠμότερα. Νυνὶ δὲ λοιπὸν καὶ περὶ μήτρας φάναι.

Κεφ. ιβ.

Κεφ. ιϛ.

Περὶ Προγνώσεως οὔρων τῆς κατὰ τὴν Μήτραν καὶ τὸν τράχηλον διαθέσεως.

Τῆς τοίνυν μήτρας κυρίου μὲν οὐ πάνυ ὄντος μορίου, τὰ μάλιστα δ' ἀλλοιοῦντος τὸ ἅπαν σῶμα τῷ κοινωνεῖν τῇ δυσκρασίᾳ. Παραπλήσια γοῦν καὶ ὧδε τὰ οὖρα τῷ χρόνῳ ἀποσυμβαίη ἂν ταῖς κατὰ τὰ λοιπὰ τῶν μὴ πάνυ κυρίων μορίων δυσκρασίαις· πάνυ δ' ἂν αὐταῖς γινομένων ἐφ' οἵας δή τινος ἰδέας, πάνυ μὲν μικρὸν ὅλως, οὐδ' ἀπόδηλον τοῦ [illegible] τοῖς οὔροις. Πλεονάσαντος δὲ, συνδιαδίδοται μὲν τῇ κύστει τὸ πύον, ἐμφαίνεται δὲ ὑφιζάνον τῇ ἀμίδι, ὃ δὴ καὶ δῆλον ἔσται ὁπότε τοῦ εἴδους, καὶ τῆς ὀσμῆς· καὶ πρὶν μὲν ἢ φάναι τὴν κάμψασαν ἀρχὴν τὴν διάθεσιν· διαγνοίης δ' ἂν εἰ μὴ μᾶλλον κακῶς εἴη, ἄν τε τῷ ῥαδίως προΐεσθαι τὸ οὖρον, καὶ μηδ' ὁτιοῦν τὴν κύστιν ἀλγεῖν. Τῶν γε μὲν ἐπιμηνίων ἀποσχεθέντων ἀλόγως, ἑνὸς μὲν ἤδη μηνὸς παρεληλυθότος συνεμφαίνεται τοῖς παρυφισταμένοις καὶ τινὰ συναπενηνεγμένα ἐρυθρὰ ψήγματα. Προϊούσης δὲ τῆς ἐπισχέσεως καὶ ταῦτα πλείω φαίνεται, καὶ τὸ χρῶμα ἤδη τοῦ ὕδατος [illegible] τὸ ὑπέρυθρον, καὶ ἔτι τὸ ἐρυθρὸν πρόσεισιν. Ἀλλ' ἵνα τῷ μὲν λόγῳ χάρις τις ἢ μεταβαλλομένῳ, πίστις δ' οὐκ ὀλίγη τῶν λεγομένων, καὶ ταύτην ὑποθήσω τὴν ἱστορίαν τῷ λόγῳ, λυσιτελοῦσαν οἶμαι τοῖς περὶ τὰ τοιαῦτα σπουδαίοις. Γυνή τις τῶν μαλακῶν παῖδας τρεῖς ἢ τέσσαρας τετοκυῖα, καὶ τῶν τριῶν κομιδῇ νηπίων ἐπιτετελευτηκότων, ἑνὸς παιδὸς [illegible] μήτηρ. Καὶ χρόνων μὲν παρελθόντων συχνῶν, λύπῃ δὲ κινδυνευούσης ἐφ' ἑνὶ μόνῳ παιδὶ τῆς ἐλπίδος ἂν ἀπροσδοκήτως σαλεύειν, ἐδεδίει γὰρ μή πως καὶ αὐτῷ θανάτῳ κοινωνήσαντι ἀλλοτρίοις ἡ οὐσία διαδοθείη. Ἦν γὰρ καὶ ἄλλως [illegible] προσπεπονθυῖα, [illegible] πρόσω πῶς ἂν ἑτέρους τέκῃ παῖδας, καὶ τὰς ἐλπίδας [illegible] διαβεβαιῶσαι, οἷα τοίνυν γυναιξὶν τὸ πάθος ὁμολογοῦσα καὶ τὴν λύσιν ἐπιζητοῦσα. Ἐδόκει μὲν τινὰς ταύτην αἴτιος ἐπιγένοιτο τῶν ἐπιμηνίων ἐπίσχεσις. ἦν γὰρ αὐτῇ καὶ πλείω τοῦ δέοντος ἰόντα ταῦτα, εἴτε τύχῃ, εἴτε καὶ τέχνῃ, τοῦτο γὰρ οὐκ ἐπυθόμην ἀκριβῶς. ἐπεσχέθη τε αὐτῇ τὰ ἐπιμήνια, καὶ τοκετοῦ ἐλπὶς [illegible] ὑπεσαίνει. Δεύτερος μὲν οὖν ἦν μὴν, καὶ ἡ γυνὴ μετρίως πως ἐταράττετο. Ἀθροιζομένου μὲν περὶ τὴν μήτραν τοῦ αἵματος, μήπω δὲ εὑρίσκοντος τὴν ἔξοδον [illegible]. ᾐσθάνετο τὰ συμβαίνοντα τοῖς τοκάσι [illegible] ὡς [illegible] καὶ κατὰ τὰς ἀρχὰς τῶν τοκάδων τὰ παραπλήσια συμβαίνειν εἴωθεν. Τρίτος ἤδη μὴν, καὶ τὰ δεινὰ προηύξησαι. Ἐπεὶ δὲ καὶ τέταρτος ἧκε μὴν ὅτε ταῖς τετοκυίαις κἄν τι προσῇ λυπηρόν, ἀνίεται, ταύτῃ

μᾶλλον

μᾶλλον ἡ γαστὴρ ἐξῴδηκε, καὶ χείρω τὰ συμπτώματα γέγονεν. Περί γε τοίνυν τὸν πέμπτον μῆνα πυθόμενος τὴν γυναῖκα κατέχον πάθος, ἦν δὲ τῶν πάνυ γνωρίμων. Ἐκεῖσε δὲ καὶ ᾠχόμην, καὶ ὕπτιαν εἰσιὼν αὐτὴν ἑώρακα ἐπὶ κλίνης κειμένην, προσαγορεύσας δ' ἠρόμην τε ὅπως ἔχοι, καὶ τοῦ τε σφυγμοῦ ἡπτόμην, ἡ δ' ὑποσχοῦσα καὶ πάνυ λεπτῇ τῇ φωνῇ ἀπεκρίνατο, σφυγμοὶ δὲ οἱ πάνυ λεπτοὶ καὶ ἀνώμαλοι ἦσαν, ἤδη νικωμένης τῆς ἐμφύτου δυνάμεως. Χροιὰ δὲ οἰδώδης, καὶ πρὸς τὸ τῶν ἰκτεριώντων οἷον ἀπεστραμμένη χρῶμα, ἰσχνὴ δὲ πάνυ ὅσα περὶ τὸ πρόσωπον καὶ τὰς χεῖρας καὶ αὐτοὺς τοὺς ὤμους ἐτύγχανε κατὰ τοῦ στήθους. Ἡ δὲ γαστὴρ αὐτῇ καὶ μάλα ἐξῳδηκυῖα ἦν. Ἐπεὶ δ' ἐδείκνυον καὶ οὖρα ἑωρακέναι, λεπτὰ μὲν ταῦτα καὶ μετρίως μοι διεφαίνετο ὕφαιμα, πεπορφυρισμένα δ' ὑφίζανεν αὐτοῖς πρὸς τῷ πυθμένι τῆς κυλίδος πάνυ ἐρυθρὰ καὶ οἷον κριμνώδη. Καὶ τότε μὲν οὐκ οἷόν τε ἦν ῥαδίως διαγνῶναι τὸ πάθος, πάνυ προσομιλήσας βραχίοις βίβλοις ἰατρῶν, καὶ ταῦτα μηδὲ τῶν ἐκεῖσε παριζόντων τινῶν συνιέντων τὸ πάθος, ὕδρωπα δὲ οἰομένων. Ἐπεὶ δὲ περὶ γυναικείων παθῶν μετ' οὐ πολὺ βίβλοις ἐναγχος ἐπεσκοπούμην ὅσον δεινὸν ἐπέχεσθαι τὰ ἐπιμήνια πέφυκεν, προσεπιγνοὺς δὲ καὶ τῇ γυναικὶ ταῦτα ἐπισχεθέντα τὰ ἐπιμήνια, εἶθ' οὕτως καὶ τὰ οὖρα συλλογιζόμην ἐκεῖνα, κατὰ λόγον εἰκότα, τοιαῦτα ἀποδοθῆναι. τῇ μὲν τοιαύτῃ τοῦ αἵματος δηλονότι ἐπὶ τὴν μήτραν συναγωγῇ ὄγκου ἐπιγεγονότος τοσούτου, τῇ δ' ἐγγύτητι τῆς κύστεως συνδιαδιδομένου τοῖς οὔροις τοῦ αἵματος, ὥστ' ἐντεῦθεν συμβαίνειν τὰ οὖρα χρώννυσθαι, τῇ δὲ ζεπήσει τοῦ αἵματος κριμνωδῶν καὶ [illegible] τῶν πεπορφυρισμένων διαφαινομένων. Οὕτως ἐκ τῆς ἀμαυρώσεως τῶν κατὰ μῆνας ἐπισχέσεως, καὶ μᾶλλον αἱ φύσει πρώτως πλείω πρόσεισι τὰ οὖρα, ἐλλείπεται καὶ συμμεταβάλλει τῷ χρόνῳ. Πλὴν ἵνα τὴν πᾶσαν ἱστορίαν περαιώσωμεν, ἐπιθήσομαι μὲν καὶ τὰ λείποντα τῷ λόγῳ. Ἐντὸς μὲν ἦν ταύτῃ καὶ ἤδη περὶ λαγόνα ἐξῳδηκυῖά τι κεκρυμμένον, καὶ ἐμαλάσσετο τῷ χρόνῳ [illegible]. Ἐπεὶ δὲ καὶ ἕβδομος ἦν μήν, ἐμαλάχθη μὲν πάντῃ ἰατρῶν ἐπιθέμασι, ἀνεκομίζετο δ' εἶθ' οὕτως, καὶ ὕφαιμον τοῦ λοιποῦ ἐκεῖθεν ὑπερρύη πύον, ἡ δὲ γαστὴρ τὸ ἐντεῦθεν ὑπεκενοῦτο, καὶ πολλή τις ἐλπὶς ὑγείας, τῷ τε ἀνδρὶ ἐφάνη καὶ τοῖς θαυμάζουσιν ἰατροῖς. Τὸ δ' οὕτως εἶχεν, ἀλλ' ἄρδην μετ' οὐ πολὺ συνέχεε τὰς ἐλπίδας ἡ κένωσις. Μετὰ γὰρ τέτταρας ἡμέρας οἶμαι τῆς

ἐπιγενομένης

ἐπιγενομένης ἀναστομώσεως, ἥ τε γαστὴρ ἐξεκενώθη τοῦ λυποῦντος, καὶ τεταπείνωτο ἡ ἄνθρωπος ὥσπερ λειποψυχήσασα, ἀκαρῆ τὸ ζῆν ἀπεβάλλετο. Τὰ μὲν οὖν τῆς ἱστορίας οὕτω πως εἶχεν. Σὺ δ' ἀκριβῶς ἐνθένδε πυθόμενος ὡς τῷ λόγῳ τῆς ἐγγύτητος μελάνωσις τοῦ χρώματος τὸ περὶ τὴν μήτραν ἀθροισθὲν τόσον αἷμα τοῖς οὔροις, καὶ μετρίου μὲν τοῦ ἀθροισθέντος αἵματος ὄντος τὰ παρυφιστάμενα μόνα κατὰ βραχύ τι ἂν ἀλλοιωθείη· πλεονάζοντος δέ, καὶ ἡ ἀλλοίωσις πλείων, εἰ δ' ἐπὶ τοσούτῳ πλείω ὡς ἤδη καὶ τὴν γαστέρα ἐξοιδηκέναι, καὶ τὰ χρώματα μεταβάλλεται, πρῶτον μὲν εἰς τὸ ὑπέρυθρον, ἔπειτα οὕτω δέ, καὶ εἰς τὸ ἐρυθρὸν καὶ ὕφαιμον, καὶ τὰ παρυφιστάμενα δὲ τότε παχύτερα φαίνεται. Τὰ παραπλήσια δ' ἂν συμβαίη, κἀπὶ ἀρχῆς φλεγμαίνοντος χρονίως, καὶ αἱ μορροΐδες ἀλόγως ἐπισχεθεῖεν, καὶ μάλιστα εἰ πρότερον χρονίως τῇ ἐκκρίσει· ἄλλως τε καὶ εἰ πολύαιμος ὁ ἄνθρωπος ᾖ, καὶ μὴ ἑτέρωθεν ἀποκενοίη τὸ αἷμα ἐπιγεννώμενον, τοσούτῳ μὲν διαλλάξαι τῶν κατὰ μήτραν ἐπισχέσεων καὶ τὰ κατὰ πάθος τῶν κατὰ φύσιν διαπίπτοντα. Ἐκείνη μὲν γὰρ τῷ χρόνῳ παγιωθεῖσα εἰς φύσιν ἤδη μεθίστασθαι πειρᾶται. Τὰ δ' ἀπὸ μήτρας ἐκκρίσεως κατὰ φύσιν γεγονυίας, μείζω ἂν καὶ αἱ ἐπισχέσεις ἀλλοίωσιν ἔν τε τῷ σώματι καὶ τοῖς οὔροις ποιήσαιεν ἄν. Ὡς δ' οἷα ἂν ἑνὸς μηνὸς ἐπίσχεσις, ἢ δυοῖν καταμηνίων ἔργα ποιῆσαι, ταῦθ' αἱ μορροΐδες ἐπισχεθεῖσαι διὰ πολλαπλασίου χρόνου. Τῷ δ' αὐτῷ ἂν λόγῳ καὶ εἴ τι ἕτερον ἢ παρὰ φύσιν ταῖς μήτραις διαδοθὲν τοῖς οὔροις σημασίας τινὰ τοῦ πάθους παράσχοι τοῖς περὶ τὰ τοιαῦτα ἐντυγχάνειν. Ἀλλ' ὁ μὲν περὶ τούτων λόγος ἐνταῦθά πη κείσθω. Ῥητέον δ' ἐφεξῆς περὶ τῶν λειπομένων εἴ τι λέλειπται.

Κεφ. ΙΓ.

Περὶ προγνώσεως οὔρων τῆς κατὰ τὰ ἄκρα τῶν κώλων διαθέσεως.

Τῶν τοίνυν χειρῶν ἢ ποδῶν πεπονθότων, ἤτοι ὑπὸ ψυχρᾶς πάνυ δυσκρασίας, ἢ καὶ τοιούτου χυμοῦ, ἢ ὑπὸ θερμῆς δυσκρασίας, ἢ καὶ θερμῆς ἐπιρρεούσης ὕλης, εἰ καὶ τὸ λοιπὸν σῶμα συννοσοῦν ᾖ, ἐπίδηλοι κἂν τοῖς οὔροις αἱ τοιαῦται διαθέσεις φαίνονται. Ὥστε καθ' ὅσον ἂν

ἧττα ποιότης

ἥτε ποιότης καὶ ποσότης τῶν λυπούντων ἐπιταθείη χυμῶν, καὶ τὰ οὖρα μεθεστήκοι ἂν τῶν κατὰ φύσιν ἀφιστάμενα. Ἂν δὲ τὸ μὲν λοιπὸν ὑγιεινῶς καθ' αὐτὸ ἔχοι σῶμα, ἐπισχεθείσης δέ τινος λυπούσης αἰτίας τὰς τοῦ σώματος κώλοις ταῦτα διὰ ταῦτα κακῶς διάκειται, μετρίως μὲν οὐκ ἂν ἀλλοιωθείη τὰ οὖρα, πλησμίως δ' αὖ, καὶ ταῦτ' ἂν μετρίως ἀλλοιωθείη, συνδιατεθέντος μάλιστα τῇ καρδίᾳ τοῦ πάθους. Αἵ γε μὴν διαφοραὶ τῶν χρωμάτων τε καὶ τῶν παρυφισταμένων τάς τε ποιότητας παραδηλώσουσι τῶν χυμῶν, αἱ πάχεις δὲ καὶ ἀπαστίαι τότε ἦθος τοῦ νοσήματος, καὶ τὴν τῆς δυνάμεως ῥώμην, ὥσπερ καὶ τὸ διάστημα τοῦ χρόνου, αἱ ταχεῖαί τε καὶ βραδεῖαι μεταβολαὶ τῶν οὔρων. Εἰδέναι μέντοι καὶ τοῦτο πρὸς τοῖς ἄλλοις χρεών, ἐπειδὴ διαφορὰς πρὸς ἄλληλα τὰ τοῦ σώματος μόρια οὐ μετρίας ἐκληρώσαντο. Ἄλλως γὰρ ἂν διατεθείη τὰ ἀλλοιούμενα, καὶ ἄλλως κύστις, ἑτέρως δ' αὖ μήτρα καὶ ἑτέρως νεφροί, καὶ ἄλλως μὲν σπλὴν, ἑτέρως δ' ὑπεζωκὼς ὑμὴν, ὥσπερ ἐκείνως μὲν κεφαλὴ, οὕτως δὲ ἧπαρ, ἢ πνεύμων. Τὰ μὲν γὰρ πλέον κεκοινώνηκε τοῦ θερμοῦ ἐγγύτητι, ἢ τῆς αἱματώδους δαψιλείας. Δεῖ τῶν μορίων ἑκάστου τὰς δυνάμεις τε καὶ ἰδιότητας ἐκμανθάνοντα, τὰ οἰκεῖα μέτρα ἑκάστῳ ἐπιτεθῆναι τῆς τε μετρίως ἐπιταθείσης δηλονότι θερμότητος, τῆς τε ἤδη ζεούσης τῇ ὑπερβολῇ τὸ ὑποκείμενον· ὥσπερ δῆτα τοὐναντίον τῆς μετρίως τε καὶ ἀμέτρως ψυχούσης ποιότητος. Τὰ μὲν γὰρ θερμότερα τῶν μορίων, ῥᾳδίως ὑπὸ θερμῶν αἰτιῶν ἀλλοιοῦται καὶ ἐκλύεται, χρονίως δ' αὖ ὑπὸ τῶν ψυχρῶν, ὥσπερ δῆτα καὶ τὰ ψυχρὰ τῶν μορίων χρονίως μὲν ὑπὸ τῶν θερμῶν ἀλλοιοῦται, τάχιστα δ' ὑπὸ τῶν ψυχρῶν. Τῇ γὰρ ἐγγύτερα ποιότητι τῇ φυσικῇ κράσει τε καὶ ἰδιότητι, ἅπαν ἀλλοιοῦται ῥᾳδίως. Ἵνα δὲ σαφέστερον τὸν λόγον ἴδῃς ἔστι μαθεῖν ἐντεῦθεν ὡς ἐπὶ παραδείγματος. Μετρίως εἰς θερμότητα διατεθέντος τοῦ ἥπατος, πυρρὰ ἂν τὰ οὖρα καὶ ξανθὰ συμβαίη γενέσθαι. Τοιαῦτα δ' ἐπὶ κώλῳ ὀδυνωμένῳ φανέντα, μείζους τε πολλῷ τὰς ἀλγηδόνας ἐποίησε· καὶ φλεγμαίνειν ἄντικρυς εἴποι ἂν τις τὸ μόριον. Εἰ δὲ καὶ τοῖς ἡ χεὶρ εἴη τὰ πεπονθότα, καὶ τοιαύτην τὴν ἀλλοίωσιν τοῖς οὔροις ἐπιθῆσαι διαῤῥήγνυσθαι ὑπ' ἀλγηδόνος, καὶ συγκάμψει φύσει ἂν τὸν κάμνοντα. Καθ' ὅσον γὰρ ἀφιστάμενα τοῦ πρώτου θερμοῦ τὰ μόρια τυγχάνει, κατὰ τοσοῦτον ἀλλοιοῦται ἂν τῷ θερμῷ, τὸν αὐτὸν δὲ λόγον ἔχει κατὰ ψυχρότητος. Τοῦ μὲν γὰρ ἥπατος ψυχρᾷ τινι ἁλωκότος δυσκρασίᾳ ἤδη ἂν ὑπόλευκα τὰ οὖρα ὀφθείη. Ἑτέρου δέ τινος πορρωτέρω μορίου οὐκ ἂν οὕτω ῥᾳδίως μεταβληθείη. Καὶ τὰ μὲν οὖν οὕτω κύρια τῶν μορίων, τῷ οἷον δή τινι κραταθέντα πάθει, ῥᾳδίως ἂν τὰ οὖρα ἀλλοιωθείη τῇ κυριότητι, τὰ δέ γε πορρωτέρω κἂν

τὰ χείριστ

τὰ χείριστα πάθη μετρίως τε καὶ διὰ χρόνου. Ὡς ἐντεῦθεν συλλογίζεσθαι δεῖν χείρους τὰς διαθέσεις ἐπὶ τοῖς [illegible] οὔροις, ὧν τοῖς μάλιστα πορρωτέρω τῇ τε θέσει καὶ τῇ οἰκειότητι τῆς ἀρχῆς κειμένων μορίων. Καὶ δεῖ τὸν συνετὸν οὕτω προεσχηκότα τοῖς οὔροις τάς τε οἰκειότητας τῶν μορίων ἀκριβῶς ἐξετάζειν, καὶ τὰς ἐπὶ τούτοις ἐκ τῶν φαινομένων τοῖς οὔροις διαθέσεις συλλογίζεσθαί τε καὶ προλέγειν. Δύναται δὲ τὰ μάλιστα συνεισενεγκεῖν εἰς τοῦτο καὶ ἀκριβής τις εἴδησις τῆς διαφορᾶς τῶν καιριωδῶν καὶ φλαυρωδῶν μορίων. Ἐπὶ δὲ τούτοις, ὅσα οἰκεῖα ταῖς ὥραις καὶ ταῖς ἡλικίαις καὶ ταῖς κράσεσιν, καὶ ταῖς τῶν νοσημάτων καταστάσεσιν φαίνεται, μετριώτερα δεῖ νομίζειν, ἢ τυγχάνοντα ἀλλότρια. Ἔπειτα ὅσα τε ῥᾳδίως πέπτεταί τε καὶ μεταβάλλεται, τήν τε φύσιν ἐρρῶσθαι δηλοῖ, καὶ τοὺς χυμοὺς πεφθῆναί τε καὶ ἀλλοιωθῆναι τάχιστα. Ὅσα δ' ἂν ἢ διὰ χρόνου μεταβάλληται, ἢ μεταβαλλόμενα ἐπὶ τὰ χείρω μάλιστα τρέποιτο, ἐκεῖνα μέμφεσθαι δεῖν, καὶ βραχείας τινὸς εἰς διαφθορὰν τὸ ζῷον δεῖσθαι ῥοπῆς οἴεσθαι. Πλὴν ἀλλὰ κἀνταῦθα ἐπὶ τῷ λόγῳ ἱστορίαν προσθήσειν ἀφ' ἧς ἄρα τῷ λόγῳ τρέψομαι. Γέρων τις ἡμέτερος γνώριμος ἐπύρεσσέ τε καὶ κακῶς εἶχεν, ἐπεὶ δὲ τοῦτ' ἐπυθόμην ἀνδαμάτην μὲν αὐτὸς εἶχον. Ἐγὼ δ' εἰδὼς αὐτὸν ἀφικόμην γείτονά τε ὄντα, καὶ ἄλλως ἀγαθὸν τὸν ἄνθρωπον τυγχάνοντα. Εὗρον οὖν αὐτὸν ὕπτιόν τε καὶ κείμενον, καὶ ὑποβήσσοντα, καὶ παχέα πτύελα ἀποχρεμπτόμενον· λημίαι δὲ οἱ περὶ τοὺς ὀφθαλμοὺς οὐκ ὀλίγαι ἐπεφύκασιν. Τὰ μὲν οὖν πτύελα οὐ πάνυ ἦν δεινά, εἰ μὴ ὅτι προϊόντα καὶ εἰς γαστέρα κατιόντα ταύτην ἐμάλαξε τοῦ προσήκοντος πλέον. Σφυγμοὶ τούτῳ ἀκριβῶς πυρέσσοντος ἀνθρώπου· τὰ ἄλλα δὲ ἀμυδροὶ ἐτύγχανον, οὖρα ὑπέρυθρα καὶ μετὰ ταῦτα, ἐρυθρὰ διεφαίνετο. Ἐξ καὶ δεκάτῃ μικρόν τι διαλλάξαντα τὰ οὖρα ἐπὶ τὸ μετριώτερον αὖθις παχέα τε ἐγένετο, καὶ ἐρυθρὰ καὶ ὕφαιμα κατὰ τὰ παρυφιστάμενα. Γαστὴρ πλείω διαχωροῦσα, οὐδὲν ὤνησε. Ἐπὶ τούτοις οὖν ἅμα διὰ γαστρὸς τοῖς διαχωρήμασι μέτριον αἷμα ἐξεκενοῦτο, ἐδόκει οὖν ἤδη τότε ὁ ἄνθρωπος ἀποθανεῖσθαι. Κἀγὼ μὲν οὖν οἴκαδε ἀφικόμην, ἀνάγκης τινὸς ἀφ' ἑτέρας βιασαμένης, πέπυσμαι δὲ κατὰ τρεῖς που ἡμέρας τὸν ἄνθρωπον τεθνηκέναι. Ἐδόκει τοίνυν ἐκεῖνον πλείονα ἢ κατὰ γέροντα ἔχειν τὸν πυρετόν, καὶ ταῦτα χειμῶνος τότε τυγχάνοντος, ὁπότε δὲ δήπου τοιοῦτον συμβαίνει οὐ μετρίως κατασείειν εἴωθεν τὴν ἔμφυτον καταπεπονηκυῖαν δύναμιν, ὑπὸ μακρῷ τῷ χρόνῳ. Διεφαίνετο δὲ καὶ ἀπὸ τοῦ συνεχοῦς δίψους ἡ τοῦ πυρετοῦ σφοδρότης. Οὐ μετρίως δὲ καὶ ἡ βὴξ ἠνία τὸν ἄνθρωπον, ἐπεὶ δὲ καὶ γῆρα κρατῶν ἐξελύετο τὴν φύσιν ῥᾳδίως καὶ οὖρα ἐπὶ τοσαύταις ἡμέραις ἀπεψίαν τῶν οὔρων ἐσήμαινον. Ἔδει γὰρ πολλαπλασίου χρόνου ὅπως προυχώρει τὰ τῆς ὑγείας ἐντεῦθεν, ἀρξάμενα πρὸς τὸ κατὰ φύσιν χωρῆσαι. Τὸ δὲ τοσοῦτον ἐδέησεν ὥστε καὶ προϊόντος τοῦ χρόνου, χείρω τά τε χρώματα καὶ τὰ παρυφιστάμενα διεφαίνετο. Τί οὖν ἄν τις ἐνταῦθ' ἐνόμισεν ἢ καὶ

παριέσθαι ;

[illegible] τὸν ἄνθρωπον, προαποκαμούσης τῆς δυνάμεως. Οὕτω δεῖ τὸν νουνεχῆ καταμανθανόμενον, προορᾶσθαι τὸ μέλλον καὶ τὰς μὲν ἐπὶ ἀγαθὰ μεταβολὰς τῶν οὔρων χαριέντως προλέγειν τε καὶ ἀσπάζεσθαι, ἀπαγορεύειν δ' αὖ τὰς ἐπὶ φαῦλα ῥοπάς. Καὶ τὰς μὲν διὰ χρόνου πλείονος γινομένας, πολλὴν καὶ τὴν τοῦ νοσήματος ἀποδεῖναι χρόνον· βραχυτέρας δ' αὖ τὰς προτέρας γινομένας. Κἂν μὲν οὖν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν πεπεμμένα φαίνηται τὰ [οὖρα], διὰ τρίτης ἢ τετάρτης λυθήσεσθαι τὸ νόσημα, φήσαις ἄν· εἰ δὲ διὰ δευτέρας ἢ τρίτης ἀφίξεσθαι καὶ μέχρις ἑβδόμης, ἂν δ' ἡ τετάρτη ἔτι ἄπεπτα τὰ οὖρα δεικνύοι, μηδ' ἂν εἴ τι γένοιτο ἡ ἑβδόμη κρίσιν τοῖς νοσήμασιν ἐπιθήσει. Τὰς γὰρ ἑκάστα μελετωμένας κρίσεις αὕτη μᾶλλον προδιασαφεῖ τε καὶ μαρτυρεῖ, βραχέα τὰ πάντως προυποδείξασα σύμβολα. Ὥσπερ ἂν αἱ πάνυ φαῦλα ἀντιγραφαῖσα δείξαι τὰ σύμβολα, θάνατον τῇ ἑβδόμῃ ἐποίσει. Ὥσπερ δῆλον ἐκ τῆς ἑνδεκάτης ἡ ὀγδόη ἐπίδηλος, ἑνδεκάτη δ' αὖ, τέσσαρες καὶ δεκάτη, καὶ ἄλλη ἄλλης, καθὼς κἂν τῷ περὶ κρίσεων ὁ σοφὸς [illegible] Γαληνός. Καὶ τὰς μὲν τῶν χρόνων παρατάσεις οὕτως ἐξ ἀρχῆς γεγραμμένος, ὡς τριπλάσια καὶ τετραπλάσια περιοδεύων τὸν ἅπαντα χρόνον τοῦ νοσήματος καθ' ὃν ἂν ἡ κατὰ Πλάτωνα ἀρχὴ λεγομένη ὑπομετρηθῇ.

Κεφ. ιδ.

Περὶ τοῦ προγνῶναι ἐκ τῶν οὔρων εἴτε τάχιον, εἴτε βραδύτερον λυθήσεσθαι τὸ νόσημα.

Τῶν μὲν ὀξυτέρως κινουμένων νοσημάτων, τάχ' ἄν τι καὶ προλάβῃ, φανερὸν δ' αὖ τι ἡ ἐπὶ τῶν [illegible], βραχύτερα ἐπί τε τῶν σωθησομένων, δηλονότι καὶ τῶν τεθνηξομένων ἀνθρώπων. Εἰ γάρ τοι, ὡς ἐπὶ παραδείγματι, ἐν τῇ τετάρτῃ γένοιτο πέψεως ἀκριβὲς σημεῖον, ὀξέως μὲν πάνυ τοῦ νοσήματος κινουμένου οὕτω [illegible] ἑβδόμης, ἕως ἂν ἡ κρίσις ἐν τύχῃ [illegible]. [illegible] τῇ ταχύτητι τῆς ὅλης ἂν καὶ αὐτῆς συμπληρουμένης, ἡ κρίσις ἀποδοθείη, ὥστε καὶ μάλα ἤδη [illegible] ἔτι κρίνεσθαι. Τοὐναντίον δ' αὖ ἀκριβέστερως φαῦλα σημεῖα τὴν ἐπίδηλον ὀφθέντος ἡμέραν, πάνυ μὲν ὀξέως κεκινημένου τοῦ νοσήματος, ἡ αὐτὴ προανελοῦσα ἄξει τὸν ἄνθρωπον, ὥσπερ αὖ ἡ ὀγδόη νωθρῶς τοῦ νοσήματος κεκινημένου. Ἀλλ' ὁ μὲν περὶ κρίσεως λόγος καὶ τῆς τῶν ἡμερῶν παρατάσεως ἀριθμός, ἐνταῦθα ἂν διαγνωσθείη. Ἔξεστι δὲ τῷ καὶ ἀκριβέστερον ἀσκεῖν σπουδάζοντι, ἐκείνην ἀναλεξαμένῳ τὴν βίβλον μανθάνειν, καθ' ἣν δὴ τὰ περὶ κρίσεως τῷ Γαληνῷ [illegible]. Ἐπὶ [illegible] δεῖ μανθάνειν ὡς ἐν τοῖς προξύνουσιν [illegible] κινουμένοντος τοῦ καύματος πολλῷ ἂν χεῖρω φανείη τὰ οὖρα τῶν ἐπὶ τοῖς ἀνασίμοις τῶν χρόνων, καὶ

εἰκότως.

αἰτίων. Ἐκεῖνα γὰρ μᾶλλον φαίνεται ἀπὸ ἄλλης τῆς πέψεως ἐπιδεδωκυίας θερμότητος. Κἂν γὰρ καὶ ἄκαπνον εἴη, τοῦτο τῆς ἐξ ἐλάττονος ῥοπῆς. τῆς ῥοπῆς τῆς φυσικῆς θερμότητος σύμβολον. Ὁπόταν γὰρ πρὸς μείζω τε καὶ λυπηρὰ σφοδρότερον τὸν πόνον ἅπαντα ἐπισυναγαγοῦσα ἔχει ἡ φυσικὴ δύναμις, τότ' οὔτ' ἂν θρέψῃ ῥᾳδίως, οὔτ' ἀλλοιώσῃ τε καὶ πέψῃ, ἐπισυνάγουσα οἷον τὸ εἰς ἀμφότερα διαστασιάζεσθαι φαῦλον καθάπερ, μήτ' ἐλάττω γὰρ τῶν ἐναργεστέρων τελείαν εἶναι καθαρότητα. Εἰ γὰρ ἐφ' ἑνὶ προσταλαιπωρουμένη οὐχὶ ῥᾳδίως τὰ προσήκοντα ποιεῖ, πολλῷ ἂν δήπουθεν ἀποτυγχάνοιτο ἐπὶ πλείοσιν ἐπιχειρήσασα ἔργοις. Ὁπηνίκα μέντοι τῶν χυμῶν ἤδη κρατοῦσα πέψιν αὐτοῖς ἐπιθεῖσα, ἤδη μὲν ἀμείνω τά τε χρώματα καὶ τὰς συστάσεις δείκνυσι τῶν ἐπὶ τοῖς παροξυσμοῖς, ἤδη δὲ καὶ προβάλλεται παρυφιστάμενα κατὰ τὴν ἀναλογίαν τῆς πέψεως. Ἂν μέν τοι ἐπιχειροῦσα καὶ παροξυνομένη ἡ φύσις ὑπὸ τοῦ τῶν καθηκόντων τι ἀνύειν, καὶ παραπλήσια τὰ οὖρα ἔν τε τοῖς παροξυσμοῖς καὶ ταῖς ἀνέσεσι φαίνηται, ὥστε μὲν οὐκ ἐπικρατεῖν τῆς ὕλης τὴν φυσικὴν σημαίνει θερμότητα, καὶ δεῖν ἄλλως ἐπισυναγαγόντα καταπεχάζεσθαι. Ἂν μὲν γὰρ ὀξέως τὰ τῆς νόσου κινήματα ᾖ, ἡ δὲ δὴ φύσις πέψεως οὐκ ἀποδίδωσι, πρόεισι δ' οὕτω ὁ χρόνος, δέος οὐκ ὀλίγον εἴη μὴ ἀπαγορεύσασα ἡ δύναμις προήσηται τὴν ἑαυτῆς ἐνέργειαν, οὗ τί ἂν εἴη χεῖρον θανάτου τούτοις ἐπιφανέντος. Ὥστε δεῖ προλέγειν ἀκριβῶς ὄψιν τὸν κατανοοῦντα στοχαζόμενον. Ἂν δέ τοι βραδύτερα μὲν τὰ τῆς νόσου κινεῖται, μετριώτεροι δέ πως φαίνονται οἱ παροξυντικοὶ καιροί, θαρρεῖν κελεύειν ὡς διὰ χρόνου λυθησομένου τοῦ πάθους, εἰ τὰ τῆς δυνάμεως ἔρρωται. Τῆς γάρ τοι φύσεως, ἐν μὲν ταῖς ἀρχαῖς ἀξιολόγου προσπαλαιούσης ὕλης, καὶ μή πω κατακρατούσης καὶ ἀξιόλογοι φαίνοιντ' ἄν, ἠργμένης δ' ἤδη τῷ χρόνῳ πέττειν, καὶ κατὰ βραχὺ τῆς ὕλης κατακρατεῖν, ῥᾳδίως τι τοὺς παροξυσμοὺς ὁ κάμνων φέρει, καὶ τὰ τῆς πέψεως ἤδη σύμβολα φαίνεται. Ἀλλ' ὁ μὲν περὶ προγνώσεως οἶμαι οὐδὲν λέγειν. Πέρας ἤδη ἀπειληφὼς ἐνταῦθά που καὶ τὸν πάντα περὶ οὔρων λόγον ἀποτελευτάτω. Οὐ γὰρ ἔτι χρεὼν μηκύνειν τὸν λόγον, καὶ περὶ τὰ τοιαῦτα ὡσαύτως παλινδρομεῖν καὶ ἀναστρέφεσθαι.

Κεφ. ιε.

Περὶ τῆς προγνώσεως ἀπὸ τῶν οὔρων εἴτε θανάσιμον, εἴτε σωτήριον.

Κεφ. ΙΕ.

Ἐπανάληψις ὡς ἐν βραχεῖ τῶν κεφαλαίων ὅλης πραγματείας.

Ἐπεὶ γὰρ τούς τε περὶ διαφορᾶς καὶ διαγνώσεως οὔρων ἐξεθέμεθα λόγους καὶ πρὸς τούτοις τοὺς περὶ αἰτίας οὔρων, ὥσπερ καὶ νῦν τοὺς περὶ προγνώσεως, ἔδοξε δ' ἡμῖν καὶ μηδὲν δὲ ὃν εἰρῆσθαι λελεῖφθαι; ἐν πᾶσι κατὰ μέθοδον εἰρημένοις τοῦ λόγου, ὅσα δηλονότι ἐν τοῖς χρώμασί τε καὶ συστάσει, ποσότητί τε τῶν χυμῶν, καὶ παρυφισταμένοις. καὶ ὅσα ἐπὶ τοῖς παρυφισταμένοις λέγεταί τε καὶ φαίνεται διωρισμένοις κατά τε χροιὰν καὶ σύστασιν καὶ ποσὸν μεταβεβλημένοις, λειότητί τε καὶ τραχύτητι καὶ τὴν κατὰ τὸ διάστημα τοῦ χύματος θέσιν, καὶ ὅσα ἐπὶ ταῖς πομφόλυξι λέγεται ὀσμαῖς τε καὶ τοῖς ἐπινηχομένοις συνθήμασι. Καὶ πρὸς τούτοις ἐπιθεῖσι τῷ λόγῳ τὰς ἐνθένδε συναγομένας συμπαθείας τε καὶ προσπαθείας, τῶν μορίων δυσκρασίας τε καὶ πέψεως καὶ ἀπεψίας, γένη τε καὶ εἴδη καὶ πυρετοῦ μακρονοσίας τε καὶ βραχυνοσίας, καὶ ὅσα κατά τε θάνατον, καὶ ζωήν. Τὰ μὲν ἐπιδήλως ἐκδιδάσκουσι, τὰ δ' ὡς ἐν τούτοις παρεχόμενα ἀξίωσιν. Ἐνταῦθεν προσεξευρισκὸν καὶ ὅσα ἐπὶ τούτοις τῷ τὴν βίβλον μελλόντι ἐκμανθάνειν ἔξεστιν δίκαιόν τε καὶ ὅσον ἔδοξεν ἢ δέοι καὶ τὸν πάντα περὶ τούτου καταπεραίνειν λόγον, βραχύ τι πρὸς τοὺς ὁμιλήσαντας τοῖς λόγοις ἀξιώσαντι, ἵν' αὐτοῖς τε μὴ πρόχειροι ὦσιν ἀρχαλαῖν, καὶ ἡμῖν τὸ ἀνέγκλητον περιάψωμεν. Κἄν τι δὲ προσυπομνήσωμεν τῶν ἐν ἀρχῇ τῆς πραγματείας εἰρημένων τῇ ῥοπῇ τοῦ λόγου προσαπτέον καὶ τοῦτο. . . . .

Κεφ. 15.

Πῶς εἰς τοῦτο τῆς Πραγματείας προήχθημεν.

Πάλαι μοι τοίνυν τῷ ξυννοῷ τῆς φιλοσοφίας μέρει προσανανεύοντι, καὶ τοῦτο ὡς οἷόν τε ἦν μοι ἐπεχομένῳ, ἐπεὶ δὲ καί τις ἔρως ἰατρικῆς παρέσχεν, ἡψάμην μὲν καὶ τῆς ἐπ' αὐτῇ θεωρίας, καὶ ταύτης ὅλως ὡς εἰκὸς ἠγαπώμην εἴτε τὸ φιλάνθρωπον αὐτῆς καὶ θεραπευτικὸν ἀπιδών, καὶ εἰς τὸ πρὸς φιλοσοφίαν κοινωνικὸν ἔμενον τε καὶ ἐπὶ τούτοις νοσοῦσιν ἐπιχειρεῖν σώμασιν, εἰ μὴ καὶ λογικῶς ἐξετάζοιμεν ἦν τὰ τῶν νοσούντων παθήματα, ὥστε καὶ ἀφανέων μὲν ἐδόκουν ἰσχυρᾶς τινος κινήσεως, ἐξ ὧν μὴ ἤρθην πάντη

λογικῶς

λογικῶς ἐπισκεπταμένων. Ἀπρὶξ δ' εἰχόμην τέ καὶ ἐπεχαίρουν ὡς εἰκὸς ταῖς λογικαῖς ἐφόδοις ἐπισημαινομένων παθῶν. Τὸ μὲν γὰρ ἀπροόπτως θεραπεύειν ἦν ἀσφαλὲς ᾤμην, τὸ δὲ μετὰ λογικῆς ἐπιστασίας, ἀσφαλές τε ἅμα καὶ ῥᾴδιον. Ἐπεὶ δὲ τῷ χρόνῳ προβαίνων, καί τι συνεισενεγκεῖν τῇ τέχνῃ ἐπειρώμην, ἵνα ὅπως πρᾶξις μαθήσεως περὶ τὴν τέχνην ἢ καὶ πᾶσαν μὲν ἀφορμὴν λόγων ἐς ἰατρικὴν λυσιτελοῦσαν καθορῶν [illegible] λόγων τέ καὶ παιδεύσεως, καὶ μάλιστα οἷος ὁ περιλάλητος σοφίᾳ τε καὶ τέχνῃ Γαληνὸς ἐνέκυψε. Τὴν δὲ περὶ οὔρων πραγματείαν ζητῶν μέν, ὅπως ἂν ἀσκήσαιμι καὶ αὐτὸς ἀπορῶν δὲ βραχέα τε, οὐκ οἶδ' ὅπως ἐπεραίην περὶ τὸ τῶν [illegible] τῆς τέχνης [illegible]; αὐτὸς μὲν [illegible] καθ' ἕκαστα ὁρωμένοις, ἐπί τε τῶν ὑγιαινόντων τέ καὶ νοσούντων. βραχέων δὲ πάνυ προσεπιλαμβανόμενος ἀρχῶν, προσέχων δὲ πάνυ προσεπιλαβόμενος ἀρχῶν, προσέχων τέ καὶ τοῖς λόγοις ἀνθεξετάζων, καὶ τὰς νομιζομένας ἀποδιδοὺς αἰτίας, κατὰ βραχὺ προυχώρουν, καὶ οἷόν τε ἦν ἤδη καθαρωτέρως ἀπὸ τῆς τῶν οὔρων σημασίας κρίνειν. Ἐπεὶ δὲ τῷ χρόνῳ τὰς [illegible] ἀληθευούσας πάνυ [illegible], ἔγνων τὲ τὰς αἰτίας [illegible] τὰ λοιπὰ ὥσπερ ἐπ' ἀγαθῶν τινῶν [illegible] ἀρχῶν ἐπί τε τὰς διαγνώσεις τὲ καὶ προγνώσεις οὐκ ὀλίγα τῆς τε περὶ σφυγμῶν εἰς τοῦτο λυσιτελησάσης πραγματείας, καὶ τῶν λοιπῶν ἐς τε διάγνωσιν καὶ πρόγνωσιν τοῖς παλαιοῖς ἐγγεγραμμένων ἀνδράσιν. Ὅθεν δὴ συνεισενεγκεῖν τι προσθέμενος ὡς εἴρηται τῇ τέχνῃ, ἐπεὶ κατὰ τοῦτο μᾶλλον ἐνδέχεται ἰατρικὸν ἔργον. ἐπικεχείρηκά τε, καὶ Θεοῦ διδόντος, εἰς πέρας ἤγαγον. Κἂν μὲν οὖν λυσιτελεῖν δόξῃ ὁ λόγος κάμνουσί τε καὶ ὑγιαίνουσιν ἀνθρώποις, ὡς τῆς ἀληθείας ἐχόμενος, Θεῷ ἡ χάρις τῷ τῶν ἀγαθῶν παροχεῖ, καὶ ἡμῖν οὐκ ἂν εἰκότως ἔγκλημά τις ἀπαιδευσίας προσάψειεν. Εἰ δ' ὅπερ ἂν ἐνδέχηται, καί τι τοῦ προσήκοντος διημάρτομεν αὐτός, ὁ τὴν τοῦ λόγου ἐξωρηκὼς ἁμαρτίαν, παριὼν δειξάτω τε καὶ ἀποδειξάτω, καὶ στέρξαι μὲν ἂν ἡδέως καὶ τὰ μάλιστα ὀφθέντας, διαπεπτωκότας τοῦ δέοντος. Τάχα δ' ἂν καὶ χάριν οἴσοιμεν, εἰ ἡμῶν τὰ βέλτιστα προμανθανομένων, ὑποσάξων πη ὁ λόγος ἐξ ἡμῶν σφάλλων, οὐκ ὀλίγον ἔγκλημα εἰς γνῶσιν τὰ ἀληθῆ, καὶ τὴν ἀνήκουσαν ἀπολάβῃ διόρθωσιν. Καὶ τὸ μὲν οὖν τὰ πάντα γράφειν καθ' ἕκαστον ἡμῖν τε δυσχερὲς ἐνομίσθη καὶ ἄλλοις οὐκ ἂν ὀφθείη ῥᾴδιον. Ἀλλ' οὐχ ὅτι ἡμεῖς τὸ πᾶν περὶ τὴν τέχνην συνελόντες [illegible]· πολλοῦ γὰρ πάνυ εἰς τοῦτο δέομεν, καὶ ταῦθ' ὧν εὐχόμεθα τυγχάνειν ἀκριβῶς μικροῦ τὸ πᾶν περὶ τὴν τέχνην οὐκ ἐμπεριειληφότων, ἀλλ' ὅτι τὰ μὲν καθόλου βραχυτέροις λόγοις ἐμπεριεχόμενα, ῥᾴδιά τε ἐξευρίσκειν καὶ πρόχειρα ἐξαγγέλλειν. Κἄν τι καὶ ὑποδιαιροῦντας ἐξετάζειν δέῃ, μέχρι μὲν ἄν τινος ὁ λόγος [illegible] προβαίνῃ. Ἐπειδὰν δ' εἰς τὰ ἰδικώτατα καὶ μερικὰ κατανατείνῃ τὸ περαιτέρω βαίνειν, ἀμηχανῇ, αὐτῶν μὲν τῷ τοῦ ἀπείρου λόγου συνδιαναπομένων τοῦ νοῦ δ' ἐξαποροῦντας ἐνταῦθα καὶ περαιτέρω βαίνειν ὡς ἔοικεν. Ὧν δ' οἱ μὲν

ὅσα δῆτα

ὅσα δῆτα ἐνεδέχετο φάναι περί τε χρωμάτων καὶ παρυφισταμένων εἴρηκα μὲν, ἂν πᾶσι τὴν ἀλήθειαν ὡς οἶμαι συνδιάζοντας· κἄν τι δὲ δόξῃ τῶν ἀξίων λόγου ἐν προὔπτοσθεν λελῆφθαι, καὶ τοῦτο οἶμαι τῇ δυνάμει ἐμπεριέχεσθαι. Ἐπεὶ δ᾽ ὁ λόγος πρὸς συνετοὺς ἐκδέδοται, τάχ᾽ ἂν καὶ οὗτοι τοὺς ἐξ ἑκάστου λόγους ἐνταῦθα ἐξηγηκότες, ῥᾳδίως μὲν ἂν γνοῖεν ὅσα τε συμπλέκεσθαι δύναται, καὶ ὅσα μή. Ῥᾳδίως δὲ ἀπὸ τούτων ἕκαστα χαρακτηριζόμενα καὶ τὰς ἐπὶ τοῖς συμπεπλεγμένοις ἀποδιδόναι· πρόχειροι γένοιντ᾽ ἂν διαγνώσεις τε καὶ προγνώσεις. Ἐμοὶ γὰρ ἔργον ἔδοξεν ἐσαῦθις τὸν λόγον ἀναλαμβάνοντι, τὰ δέοντα συμπληροῦν, καὶ τοὺς ἐπὶ τούτοις λόγους ἀποδιδόναι· καὶ ὁ μὲν παρὼν λόγος, ὡς ἀπ᾽ ἀρχῆς τις ἐκ τῆς τέχνης. Τοῖς δὲ αὐτὸν [illegible] [illegible] ἐλευθέραν ὁμιλίαν [illegible]. Τῷ δὲ πρὸς τὸ φιλάνθρωπον ἁρμόζοντι τῆς τέχνης, καὶ τὰ λυσιτελοῦντα δόξαντα συνεισαναγκάζοντι, τῶν μὲν ἀπὸ τῆς τέχνης καλῶν ἀπολαῦσαι, συνεισαναγκάζοντι [illegible] ποίει λαίπεδα, τὰ μάλιστα αἱ λυσιτελοῦν πέφυκεν ἐς τε πρόγνωσιν καὶ θεραπείαν τῶν ἀνθρωπίνοις συμβαινόντων σώμασι παθῶν. Τῶν δὲ πάντα μὲν ἑαυτοῖς περιποιουμένων εἰδέναι, ζηλοτυπούντων δ᾽ εἴ τι δόξειεν τις συνεισαναγκάζειν τῷ βίῳ χρήσιμον, τὰς αὐτόθεν διαφυγὰς γλωσσαλγίας· εἴη δὲ καὶ φάρμακον ἐχυρὸν ἀντιπαθοῦν τοιούτοις πάθεσιν, ἵνα μὴ ἐν γλώσσαις ἄλλων εὐλαβώμεθα κινδυνεύειν. Τάχα δ᾽ ἂν καιριώτατον τε καὶ φαρμακωδέστατον ὀφθείη πρὸς ταῦτα φάρμακον, πρὸς Θεὸν μὲν οὖν ἀγεννὴς πεποίθησις, πρὸς δὲ τοὺς ἐντυγχάνοντας τῶν ἀνθρώπων, μετριότης φρονήματος, αὐτῶν δὲ τῶν λόγων ἀκρίβειά τις ἐπισκεπτική.

ΤΕΛΟΣ.